

Isócrates
Αρχίδαμος
Arquidamo
Traducción de
Juan Manuel Guzmán Hermida

ARQUIDAMO (VI)
Ἀρχίδαμος

INTRODUCCIÓN

Tras la batalla de Leuctra (371 a. C.), Esparta queda despojada de su hegemonía que pasa ahora a los tebanos. Epaminondas dirige la primera invasión tebana del Peloponeso (369 a. C.). Los hilotas y los mesemos reconstruyen la ciudad de Mesenia, destruida por Esparta el año 469 a. C. (cf. Diodoro, XV 66). El año 366 a. C. Tebas ofrece la paz, imponiendo, entre otras condiciones, que se reconozca la independencia de la nueva Mesenia, lo que aceptan Corinto y otros aliados de Esparta.

En esta situación, ante la asamblea espartana, Arquidamo III, hijo del rey Agesilao, se levanta para condenar el abandono de Mesenia.


Ahora bien, ¿pronunció Arquidamo el discurso que aquí tenemos, o fue un nuevo ejercicio retórico de Isócrates? La crítica antigua y moderna no está de acuerdo en esto. Blass (*Die attische*…, II, págs. 288-293) se decide por aceptar el discurso como una obra escolar; Drerup, en cambio, acepta que sí fue pronunciado por Arquidamo.

En cualquier caso, el Arquidamo estaría en la línea del Plateense o del Nicocles, en los que Isócrates pone sus propias ideas en boca del personaje que pronuncia el discurso. Otra cuestión sería preguntarse cómo el ateniense Isócrates defiende el imperialismo de Esparta. Si pensamos en el ideal panhelénico de nuestro autor, constantemente reiterado por él, veremos que no le podían atraer estas constantes rencillas entre griegos. Además, su enemistad hacia Tebas ya quedó clara en el Plateense.

En cuanto a la fecha del discurso podría ser la del año 366 a. C. que es la que nos da Jenofonte (*Hel.*, VII 4, 6 ss.) para las primeras disensiones entre Esparta y sus aliados.

ARGUMENTO DE UN ESCRITOR DESCONOCIDO

Tras la batalla de Leuctra, los tebanos hicieron incursiones contra Lacedemonia y muchas veces la devastaron hasta el punto de que las mujeres lacedemonias salieron al encuentro de los lacedemonios, que no dejaban de huir, y les decían: «¿Tendremos que acogeros en nuestro vientre por segunda vez?» Y así vencieron, concentrándose en Mantinea, donde la caballería ateniense formó con tanta brillantez. Después de la batalla de Mantinea, los lacedemonios enviaron embajadores a los tebanos para pedirles la paz. Y los tebanos prometieron que les dejarían tranquilos si reconstruían Mesenia y permitían su independencia. Los demás aconsejaban a los lacedemonios reconstruirla, pero Arquidamo el Joven aconsejó no hacerlo. La ascendencia del joven Arquidamo es la siguiente: de Zeuxidamo desciende Arquidamo, de éste Agis, de éste Agesilao y de éste Arquidamo. Unos dicen que Arquidamo envió a buscar este discurso a Atenas y que lo recibió de Isócrates. Otros afirman que el discurso es un ensayo de Isócrates, que se titularía «Palabras de Arquidamo aconsejando a los lacedemonios». Éste es el argumento. La discusión del discurso se centra en los hechos, y su punto capital es la utilidad.



ARQUIDAMO (VI)
Αρχίδαμος

[1] ἴσως τινὲς ὑμῶν θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις ὡς οὐκ οἶδ᾽ εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι τὴν μεταβολὴν ὥστε περὶ ὧν ὀκνοῦσιν οἱ πρεσβύτεροι λέγειν, περὶ τούτων νεώτερος ὢν παρελήλυθα συμβουλεύσων.

1 Quizá algunos de vosotros se admiren de que, habiéndome mantenido durante toda mi vida en las costumbres de la ciudad como no sé si lo habrá hecho otro de mis coetáneos, haya cambiado tanto como para venir, a pesar de mi juventud, a aconsejar sobre asuntos de los que no se atreven a hablar los mayores[1].

[2] ἐγὼ δ᾽, εἰ μέν τις τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς πόλεως εἰρηκώς, πολλὴν ἂν ἡσυχίαν ἦγον: νῦν δ᾽ ὁρῶν τοὺς μὲν συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσι, τοὺς δ᾽ οὐκ ἐρρωμένως ἐναντιουμένους, τοὺς δὲ παντάπασιν ἀποσεσιωπηκότας, ἀνέστην ἀποφανούμενος ἃ γιγνώσκω περὶ τούτων, αἰσχρὸν νομίσας, εἰ τὴν ἰδίαν τοῦ βίου τάξιν διαφυλάττων περιόψομαι τὴν πόλιν ἀνάξια ψηφισαμένην ἑαυτῆς.

2 Si alguno de los que acostumbran a hablaros lo hubiera hecho de manera conveniente a la ciudad, yo me quedaría tranquilo. Pero ahora, al ver que unos defienden las órdenes de los enemigos, que otros se oponen sin decisión, que algunos incluso se han quedado callados por completo, me levanté para dar a conocer lo que sé de estos temas. Pensé que era una vergüenza guardar la dignidad particular de mi vida y ver con indiferencia que la ciudad vote cosas indignas de ella.

[3] ἡγοῦμαι δ᾽, εἰ καὶ περὶ τῶν ἄλλων πρέπει τοὺς τηλικούτους σιωπᾶν, περί γε τοῦ πολεμεῖν ἢ μὴ προσήκειν τούτους μάλιστα συμβουλεύειν, οἵπερ καὶ τῶν κινδύνων πλεῖστον μέρος μεθέξουσιν, ἄλλως τε δὴ καὶ τοῦ γνῶναί τι τῶν δεόντων ἐν κοινῷ καθεστῶτος ἡμῖν.

3 Creo que si en otros asuntos deben callar los de mi edad, en lo que se refiere a hacer la guerra o no hacerla, es conveniente que opinen sobre todo quienes van a participar de los peligros en la mayor medida, especialmente si está establecido que resolvamos en común lo que debe hacerse.

[4] εἰ μὲν γὰρ ἦν δεδειγμένον, ὥστε τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων εἰδέναι τὸ βέλτιστον, τοὺς δὲ νεωτέρους μηδὲ περὶ ἑνὸς ὀρθῶς γιγνώσκειν, καλῶς ἂν εἶχεν ἀπείργειν ἡμᾶς τοῦ συμβουλεύειν: ἐπειδὴ δ᾽ οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλήλων, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις, πῶς οὐκ ἀμφοτέρων χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν, ἵν᾽ ἐξ ἁπάντων

4 Porque si se hubiera demostrado que los mayores son los que mejor saben todo, y en cambio los jóvenes ni en una sola cosa aciertan, en ese caso estaría bien que nos excluyeran de las deliberaciones. Pero puesto que las diferencias de nuestros razonamientos no vienen dadas por el número de años sino por nuestra manera de ser y nuestra aplicación, ¿cómo no deberá intentarse aprovechar ambas generaciones, para que, a través

---

[1] PLUTARCO en *Licurgo* 25, nos dice que en Esparta los jóvenes no podían hablar en las reuniones públicas antes de cumplir años de edad.

ὑμῖν ἐξῇ τῶν ῥηθέντων ἑλέσθαι τὰ συμφορώτατα;

de todo lo que se diga, podamos elegir lo más provechoso?

[5] θαυμάζω δ᾽ ὅσοι τριήρων μὲν ἡγεῖσθαι καὶ στρατοπέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς, ὑπὲρ ὧν μὴ καλῶς βουλευσάμενοι πολλαῖς ἂν συμφοραῖς καὶ μεγάλαις τὴν πόλιν περιβάλοιμεν, εἰπεῖν δ᾽ ἃ γιγνώσκομεν περὶ ὧν ὑμεῖς μέλλετε κρίνειν οὐκ οἴονται δεῖν ἡμᾶς, ἐν οἷς κατορθώσαντες μὲν ἅπαντας ὑμᾶς ὠφελήσομεν, διαμαρτόντες δὲ τῆς ὑμετέρας γνώμης αὐτοὶ μὲν ἴσως φαυλότεροι δόξομεν εἶναι, τὸ δὲ κοινὸν οὐδὲν ἂν ζημιώσαιμεν.

5 Me causa asombro que cuantos consideran que podemos conducir naves de guerra y mandar ejércitos[2] —circunstancias en las que, si no tomamos resoluciones correctas, podemos rodear a la ciudad con muchas y graves desgracias— piensen, en cambio, que no debemos decir nuestra opinión sobre aquellos asuntos que van a decidir, en los que si acertamos, os ayudaremos a todos vosotros, y caso de equivocarnos, quizá pareceremos inferiores a vuestra manera de pensar, pero no dañaríamos a la comunidad.

[6] οὐ μὴν ὡς ἐπιθυμῶν τοῦ λέγειν, οὐδ᾽ ὡς ἄλλως πως παρεσκευασμένος ζῆν ἢ τὸν παρελθόντα χρόνον, οὕτως εἴρηκα περὶ τούτων, ἀλλὰ βουλόμενος ὑμᾶς προτρέψαι μηδεμίαν ἀποδοκιμάζειν τῶν ἡλικιῶν, ἀλλ᾽ ἐν ἁπάσαις ζητεῖν εἴ τίς τι δύναται περὶ τῶν παρόντων πραγμάτων εἰπεῖν ἀγαθόν:

6 Y no es por afán de hablar ni porque me disponga a vivir de distinta manera a como antes lo hacía por lo que he hablado así sobre estas cosas, sino con el deseo de exhortaros a no rechazar ninguna edad, y a buscar en todas ellas a cualquier persona que pueda decir algo de interés sobre las circunstancias presentes.

[7] ὡς ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, οὐδεὶς οὔτε κίνδυνος οὔτε πόλεμος περὶ τοσούτων τὸ μέγεθος ἡμῖν γέγονε, περὶ ὅσων νυνὶ βουλευσόμενοι συνεληλύθαμεν. πρότερον μὲν γὰρ ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν ἠγωνιζόμεθα, νῦν δ᾽ ὑπὲρ τοῦ μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον: ὃ σημεῖον ἐλευθερίας ἐστίν, ὑπὲρ ἧς οὐδὲν ὅ τι τῶν δεινῶν οὐχ ὑπομενετέον, οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς μὴ λίαν ἀνάνδρως διακειμένοις ἀλλὰ καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις.

7 Desde que habitamos la ciudad no nos ha ocurrido ningún peligro ni guerra en que se ventilasen asuntos tan importantes como los que ahora nos han reunido para deliberar. Antes luchábamos para mandar sobre otros, pero ahora para no hacer lo que se nos manda. Esto es señal de libertad, y por ella hay que soportar todos los peligros, no sólo nosotros, sino también quienes no tienen excesiva cobardía y aspiran a la virtud, aunque sea en pequeña escala.

[8] ἐγὼ μὲν οὖν, εἰ δεῖ τοὐμὸν ἴδιον εἰπεῖν, ἑλοίμην ἂν ἀποθανεῖν ἤδη μὴ ποιήσας τὸ προσταττόμενον μᾶλλον ἢ πολλαπλάσιον χρόνον ζῆν τοῦ τεταγμένου ψηφισάμενος ἃ Θηβαῖοι κελεύουσιν: αἰσχυνοίμην γὰρ ἄν, εἰ γεγονὼς μὲν ἀφ᾽ Ἡρακλέους, τοῦ δὲ πατρὸς

8 Yo, si tengo que decir mi opinión particular, preferiría morir sin obedecer lo ordenado, a vivir más de lo que me toca después de haber votado lo que mandan los tebanos[3]. Me daría vergüenza, en efecto, siendo descendiente de Heracles[4], hijo del

---

[2] Según nos dicen JENOF., en *Hel*., VI 4, 18, VII 1, 28, y DIODORO, XV 72, Arquidamo ya había mandado ejércitos en los años 371 y 368 a. C.

[3] Cf. con el párrafo 51. Las condiciones que imponen los tebanos a Esparta estaban establecidas por el rey persa (JENOF., *Hel*. VII 1, 36-37).

[4] Las dos familias de los reyes espartanos (Euripóntidas y Agíadas) se decían descendientes de Heracles (cf. *Panegírico* 62).

βασιλεύοντος, αὐτὸς δ᾽ ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης, περιίδοιμι, καθ᾽ ὅσον ἐστὶν ἐπ᾽ ἐμοί, τὴν χώραν ἣν ἡμῖν οἱ πατέρες κατέλιπον, ταύτην τοὺς οἰκέτας τοὺς ἡμετέρους ἔχοντας.

rey actual, y verosímil heredero de este honor[5], ver con indiferencia, en lo que a mí respecta, que ocuparan nuestros servidores la tierra que nos dejaron nuestros padres.

[9] ἀξιῶ δὲ καὶ ὑμᾶς τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχειν, ἐνθυμηθέντας ὅτι μέχρι μὲν ταυτησὶ τῆς ἡμέρας δεδυστυχηκέναι δοκοῦμεν ἐν τῇ μάχῃ τῇ πρὸς Θηβαίους, καὶ τοῖς μὲν σώμασι κρατηθῆναι διὰ τὸν οὐκ ὀρθῶς ἡγησάμενον, τὰς δὲ ψυχὰς ἔτι καὶ νῦν ἀηττήτους ἔχειν,

9 Creo que vosotros tenéis mi misma opinión y que pensáis que hasta este día parece que hemos tenido mala suerte en la batalla contra los tebanos, y que nuestros cuerpos fueron vencidos por la incompetencia de quien nos mandaba[6], pero que nuestros espíritus permanecen aún ahora invencibles.

[10] εἰ δὲ φοβηθέντες τοὺς ἐπιόντας κινδύνους προησόμεθά τι τῶν ἡμετέρων αὐτῶν, βεβαιώσομεν τὰς Θηβαίων ἀλαζονείας καὶ πολὺ σεμνότερον τρόπαιον τοῦ περὶ Λεῦκτρα καὶ φανερώτερον στήσομεν καθ᾽ ἡμῶν αὐτῶν: τὸ μὲν γὰρ ἀτυχίας, τὸ δὲ τῆς ἡμετέρας διανοίας ἔσται γεγενημένον. μηδεὶς οὖν ὑμᾶς πείσῃ τοιαύταις αἰσχύναις τὴν πόλιν περιβαλεῖν.

10 Pero si, por miedo a los peligros que se nos vienen encima, abandonamos alguna de nuestras propiedades, reforzaremos la fanfarronería de los tebanos y levantaremos contra nosotros mismos un trofeo mucho más venerable y visible que el de Leuctra; el primero procede de nuestra mala suerte, el segundo será producido por nuestra manera de pensar. Que nadie os persuada a empujar a la ciudad a tales vergüenzas.

[11] καίτοι λίαν προθύμως οἱ σύμμαχοι συμβεβουλεύκασιν ὑμῖν ὡς χρὴ Μεσσήνην ἀφέντας ποιήσασθαι τὴν εἰρήνην. οἷς ὑμεῖς δικαίως ἂν ὀργίζοισθε πολὺ μᾶλλον ἢ τοῖς ἐξ ἀρχῆς ἀποστᾶσιν ἡμῶν. ἐκεῖνοι μὲν γὰρ ἀφέμενοι τῆς ἡμετέρας φιλίας τὰς αὑτῶν πόλεις ἀπώλεσαν, εἰς στάσεις καὶ σφαγὰς καὶ πολιτείας πονηρὰς ἐμβαλόντες, οὗτοι δ᾽ ἡμᾶς ἥκουσι κακῶς ποιήσοντες:

11 Los aliados[7] os han aconsejado con mucho empeño que debéis hacer la paz después de entregar Mesenia. En justicia os tendríais que haber irritado mucho más con ellos que con quienes se separaron de vosotros desde el principio. Porque éstos, al abandonar vuestra amistad, destruyeron sus propias ciudades, arrojándolas a revueltas, asesinatos y a regímenes penosos[8]. Pero los aliados se presentan ante nosotros para hacemos daño.

[12] τὴν γὰρ δόξαν, ἣν ἡμῖν οἱ πρόγονοι μετὰ πολλῶν κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι κτησάμενοι κατέλιπον, ταύτην ἐν ὀλίγῳ χρόνῳ πείθουσιν ἡμᾶς ἀποβαλεῖν, ἧς οὔτ᾽ ἀπρεπεστέραν τῇ Λακεδαίμονι συμφορὰν οὔτε δεινοτέραν οὐδέποτ᾽ ἂν εὑρεῖν ἠδυνήθησαν.

12 Porque la buena fama que nos dejaron nuestros antepasados, adquirida durante setecientos años[9] en medio de muchísimos peligros, os persuaden a que la perdáis en breve tiempo. No habrían podido nunca encontrar una desgracia más vergonzosa ni peor que ésta para un lacedemonio.

---

[5] Efectivamente, al morir Agesilao, Arquidamo sube al trono el año 361 a. C.

[6] El rey Cleombroto, vencido y muerto en Leuctra.

[7] Sobre todo los corintios.

[8] Sobre esta época de revueltas nos informa JENOF., *Hel*. VII 14.

[9] La llegada de los dorios al Peloponeso se sitúa hacia el año 1100 y fue llamada por los griegos la vuelta de los Heraclidas.

[13] εἰς τοῦτο δ᾽ ἥκουσι πλεονεξίας καὶ τοσαύτην ἡμῶν κατεγνώκασιν ἀνανδρίαν, ὥστε πολλάκις ἡμᾶς ἀξιώσαντες ὑπὲρ τῆς αὑτῶν πολεμεῖν, ὑπὲρ Μεσσήνης οὐκ οἴονται δεῖν κινδυνεύειν, ἀλλ᾽ ἵν᾽ αὐτοὶ τὴν σφετέραν αὐτῶν ἀσφαλῶς καρπῶνται, πειρῶνται διδάσκειν ἡμᾶς ὡς χρὴ τοῖς ἐχθροῖς τῆς ἡμετέρας παραχωρῆσαι, καὶ πρὸς τοῖς ἄλλοις ἐπαπειλοῦσιν ὡς εἰ μὴ ταῦτα συγχωρήσομεν ποιησόμενοι τὴν εἰρήνην κατὰ σφᾶς αὐτούς.

13 Llegan a tanta ambición y nos consideran tan cobardes, que piensan que no deben ponerse en peligro por Mesenia, cuando tantas veces les pareció bien que lucháramos por su tierra. Es más, para poder cultivar con tranquilidad esa tierra suya, intentan enseñarnos que debemos abandonar la nuestra a los enemigos, e incluso nos amenazan con hacer ellos la paz por su cuenta si no cedemos en esto.

[14] ἐγὼ δ᾽ οὐ τοσούτῳ χαλεπώτερον ἡγοῦμαι τὸν κίνδυνον ἡμῖν ἔσεσθαι τὸν ἄνευ τούτων, ὅσῳ καλλίω καὶ λαμπρότερον καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστότερον: τὸ γὰρ μὴ δι᾽ ἑτέρων ἀλλὰ δι᾽ ἡμῶν αὐτῶν πειρᾶσθαι σώζεσθαι καὶ περιγενέσθαι τῶν ἐχθρῶν ὁμολογούμενον τοῖς ἄλλοις τοῖς τῆς πόλεως ἔργοις ἐστίν.

14 Creo que no será tan duro el peligro que correremos sin ellos, sino mucho más hermoso, brillante y famoso entre todos los hombres. Pues el que intentemos salvamos y vencer a los enemigos por nosotros mismos, sin la ayuda de los aliados, está de acuerdo con las demás hazañas de la ciudad.

[15] οὐδὲ πώποτε δὲ λόγους ἀγαπήσας, ἀλλ᾽ ἀεὶ νομίζων τοὺς περὶ τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι πρὸς τὰς πράξεις, νῦν οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν: ἐν γὰρ τῷ παρόντι διὰ τούτων ἐλπίζω μεγίστων ἀγαθῶν αἴτιος ἂν γενέσθαι τῇ πόλει.

15 Aunque nunca me gustó hablar, y siempre he pensado que quienes gastan en ello el tiempo son los más inútiles para la acción[10], ahora nada me gustaría más que poder exponer lo que quiero sobre el tema fijado. Porque, en el momento presente, espero llegar mediante esto a hacer grandes beneficios a la ciudad.

[16] πρῶτον μὲν οὖν οἶμαι δεῖν διαλεχθῆναι πρὸς ὑμᾶς ὃν τρόπον ἐκτησάμεθα Μεσσήνην καὶ δι᾽ ἃς αἰτίας ἐν Πελοποννήσῳ κατῳκήσατε Δωριεῖς τὸ παλαιὸν ὄντες. διὰ τοῦτο δὲ προλήψομαι πορρωτέρωθεν, ἵν᾽ ἐπίστησθε ὅτι ταύτην ὑμᾶς τὴν χώραν ἐπιχειροῦσιν ἀποστερεῖν, ἣν ὑμεῖς οὐδὲν ἧττον ἢ τὴν ἄλλην Λακεδαίμονα κέκτησθε δικαίως.

16 Creo que, en primer lugar, debo contaros cómo conquistamos Mesenia y por qué motivo habitasteis en el Peloponeso, cuando antes erais dorios. Por eso cogeré el relato desde muy antiguo, para que sepáis que esta tierra que ahora intentan quitaros, la habéis adquirido con no menos justicia que el resto de Lacedemonia.

[17] ἐπειδὴ γὰρ Ἡρακλῆς μετήλλαξε τὸν βίον θεὸς ἐκ θνητοῦ γενόμενος, κατὰ μὲν ἀρχὰς οἱ παῖδες αὐτοῦ διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἐν πολλοῖς πλάνοις καὶ κινδύνοις ἦσαν, τελευτήσαντος δ᾽ Εὐρυσθέως κατῴκησαν ἐν Δωριεῦσιν. ἐπὶ δὲ τρίτης γενεᾶς ἀφίκοντο εἰς Δελφούς, χρήσασθαι τῷ μαντείῳ περί τινων βουληθέντες. ὁ δὲ θεὸς περὶ μὲν ὧν

17 Cuando Heracles cambió su vida, pasando de mortal a dios, al principio sus hijos anduvieron errantes y expuestos a muchos peligros a causa del poder de sus enemigos. Pero cuando Euristeo murió se establecieron entre los dorios. Después de tres generaciones llegaron a Delfos con el deseo de consultar al oráculo sobre algunas cuestiones. El dios no respondió lo que le preguntaron, pero

[10] Era proverbial, y ha llegado hasta nosotros la escasa afición de los lacedemonios hacia los discursos.

ἐπηρώτησαν οὐκ ἀνεῖλεν, ἐκέλευσε δ᾽ αὐτοὺς ἐπὶ τὴν πατρῴαν ἰέναι χώραν.

les ordenó que fueran a la tierra de sus antepasados.

[18] σκοπούμενοι δὲ τὴν μαντείαν, εὕρισκον Ἄργος μὲν κατ᾽ ἀγχιστείαν αὑτῶν γιγνόμενον (Εὐρυσθέως γὰρ ἀποθανόντος μόνοι Περσειδῶν ἦσαν καταλελειμμένοι), Λακεδαίμονα δὲ κατὰ δόσιν (ἐκβληθεὶς γὰρ Τυνδάρεως ἐκ τῆς ἀρχῆς, ἐπειδὴ Κάστωρ καὶ Πολυδεύκης ἐξ ἀνθρώπων ἠφανίσθησαν, καταγαγόντος αὐτὸν Ἡρακλέους δίδωσιν αὐτῷ τὴν χώραν διά τε τὴν εὐεργεσίαν ταύτην καὶ διὰ τὴν συγγένειαν τὴν πρὸς τοὺς παῖδας),

18 Al examinar el oráculo, descubrieron que Argos les pertenecía por derecho de familia —pues, muerto Euristeo, eran ellos los únicos descendientes de Perseo que sobrevivían—[11]y Lacedemonia por donación —porque cuando Tíndaro[12] fue arrojado del poder, cuando Cástor y Polideuces desaparecieron de entre los hombres, Heracles devolvió el reino a Tíndaro[13], y éste le dio. Lacedemonia, por su servicio, y por el parentesco que tenían con sus hijos—[14].

[19] Μεσσήνην δὲ δοριάλωτον ληφθεῖσαν (συληθεὶς γὰρ Ἡρακλῆς τὰς βοῦς τὰς ἐκ τῆς Ἐρυθείας ὑπὸ Νηλέως καὶ τῶν παίδων, πλὴν ὑπὸ Νέστορος, λαβὼν αὐτὴν αἰχμάλωτον τοὺς μὲν ἀδικήσαντας ἀπέκτεινεν, Νέστορι δὲ παρακατατίθεται τὴν πόλιν, νομίσας αὐτὸν εὖ φρονεῖν ὅτι νεώτατος ὢν οὐ συνεξήμαρτε τοῖς ἀδελφοῖς).

19 En cuanto a Mesenia, la habían ocupado como botín de guerra. Pues Heracles, al ser despojado de los bueyes de Eritea[15] por Neleo y sus hijos con excepción de Néstor[16], capturó este territorio y mató a los que le habían injuriado y entregó a Néstor la ciudad, pensando que, a pesar de su juventud, era sensato y no había participado en los errores de sus hermanos.

[20] ὑπολαβόντες δ᾽ οὕτως ἔχειν τὴν μαντείαν, καὶ τοὺς προγόνους τοὺς ὑμετέρους παραλαβόντες καὶ στρατόπεδον συστησάμενοι, τὴν μὲν ἰδίαν χώραν εἰς τὸ κοινὸν τοῖς συνακολουθήσασιν ἔδοσαν, τὴν δὲ βασιλείαν ἐξαίρετον αὐτοὶ παρ᾽ ἐκείνων ἔλαβον, ἐπὶ δὲ τούτοις πίστεις ἀλλήλοις δόντες ἐποιοῦντο τὴν στρατείαν.

20 Habiendo interpretado así el oráculo, reunieron a vuestros antepasados y formaron un ejército. A los que les siguieron les entregaron para uso público la tierra de la que eran propietarios, y recibieron de ellos como prerrogativa la realeza. Tras darse estas mutuas pruebas de confianza, hicieron la expedición.

[21] τοὺς μὲν οὖν κινδύνους τοὺς ἐν τῇ πορείᾳ γενομένους καὶ τὰς ἄλλας πράξεις τὰς οὐδὲν πρὸς τὸ παρὸν φερούσας τί δεῖ λέγοντα διατρίβειν; πολέμῳ δὲ κρατήσαντες τοὺς ἐν τοῖς τόποις τοῖς εἰρημένοις κατοικοῦντας τριχῇ διείλοντο τὰς βασιλείας.

21 ¿Para qué perder el tiempo en referir los peligros que les ocurrieron durante el viaje y las demás empresas que nada importan en el presente? Vencieron en la guerra a los habitantes de los territorios antedichos y dividieron en tres los reinos.

---

11 Sobre Euristeo, véase nota 37 al *Panegírico* y nota 23 al *Elogio de Helena*. Esténelo, padre de Euristeo, y Electrión, padre de Alcmena, eran hijos de Perseo.

12 Tíndaro, padre de Helena y rey de Esparta, fue expulsado del poder por su hermanastro Hipoconte y los hijos de éste (APOLODORO, III 10, 5).

13 Heracles mató al usurpador Hipoconte y a sus 20 hijos.

14 Tíndaro era sobrino, de Perseo y los hijos de Heracles tataranietos del mismo.

15 Véase nota 24 al *Elogio de Helena*.

16 El mítico rey de Pilos, el héroe más anciano de la guerra de Troya.

ὑμεῖς μὲν οὖν μέχρι ταυτησὶ τῆς ἡμέρας ἐμμένετε ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις, οὓς ἐποιήσασθε πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους:

Vosotros, en efecto, hasta el día de hoy, habéis mantenido los tratados y juramentos que hicisteis a nuestros antepasados.

[22] διὸ καὶ τὸν παρελθόντα χρόνον ἄμεινον τῶν ἄλλων ἐφέρεσθε, καὶ τὸν ἐπιόντα προσδοκᾶν χρὴ τοιούτους ὄντας βέλτιον ἢ νῦν πράξειν. Μεσσήνιοι δ᾽ εἰς τοῦτ᾽ ἀσεβείας ἦλθον, ὥστ᾽ ἐπιβουλεύσαντες ἀπέκτειναν Κρεσφόντην, τὸν οἰκιστὴν μὲν τῆς πόλεως, κύριον δὲ τῆς χώρας, ἔκγονον δ᾽ Ἡρακλέους, αὐτῶν δ᾽ ἡγεμόνα γεγενημένον.

22 Por ello, si en el pasado os habéis portado mejor que los demás, hay que suponer que, manteniendo esta actitud, obraréis en el futuro mejor que ahora. Los mesenios, en cambio, llegaron a tal impiedad que tramaron una conspiración y mataron a Cresfonte, fundador de su ciudad, señor de su tierra, descendiente de Heracles y que había llegado a ser su gobernador.

[23] διαφυγόντες δ᾽ οἱ παῖδες αὐτοῦ τοὺς κινδύνους ἱκέται κατέστησαν ταυτησὶ τῆς πόλεως, ἀξιοῦντες βοηθεῖν τῷ τεθνεῶτι καὶ τὴν χώραν διδόντες ἡμῖν. ἐπερόμενοι δὲ τὸν θεόν, κἀκείνου προστάξαντος δέχεσθαι ταῦτα καὶ τιμωρεῖν τοῖς ἠδικημένοις, ἐκπολιορκήσαντες Μεσσηνίους οὕτως ἐκτήσασθε τὴν χώραν.

23 Sus hijos rehuyeron los peligros[17] y se establecieron en esta ciudad como suplicantes; nos pedían que vengáramos al muerto y nos ofrecían su territorio. Preguntasteis al dios y aquél os ordenó acoger estas súplicas y castigar a los criminales, y así adquiristeis el territorio de Mesenia después de asediar la ciudad.

[24] περὶ μὲν οὖν τῶν ἐξ ἀρχῆς ὑπαρξάντων ἡμῖν ἀκριβῶς μὲν οὐ διῆλθον （ὁ γὰρ παρὼν καιρὸς οὐκ ἐᾷ μυθολογεῖν, ἀλλ᾽ ἀναγκαῖον ἦν συντομώτερον ἢ σαφέστερον διαλεχθῆναι περὶ αὐτῶν）, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων οἶμαι πᾶσι φανερὸν εἶναι διότι τὴν ὁμολογουμένην ἡμετέραν εἶναι χώραν οὐδὲν διαφερόντως κεκτημένοι τυγχάνομεν ἢ τὴν ἀμφισβητουμένην. ταύτην τε γὰρ οἰκοῦμεν δόντων μὲν Ἡρακλειδῶν, ἀνελόντος δὲ τοῦ θεοῦ, πολέμῳ δὲ κρατήσαντες τοὺς ἔχοντας: ἐκείνην τ᾽ ἐλάβομεν παρὰ τῶν αὐτῶν καὶ τὸν αὐτὸν τρόπον καὶ ταῖς μαντείαις χρησάμενοι ταῖς αὐταῖς.

24 No narré con precisión lo que se refiere a vosotros desde el comienzo de la historia, porque la ocasión presente no permite contar mitos, sino que había que hablar con más concisión que claridad. Pero creo que por ello no es menos evidente a todos que nos hemos hecho dueños de la tierra que se nos disputa, no de modo diferente a la que es nuestra sin discusión. Esta última la habitamos porque nos la dieron los hijos de Heracles, porque nos lo mandó el dios y porque vencimos en la guerra a sus dueños. Aquélla la recibimos de los mismos dueños, mediante un procedimiento parecido y utilizando los mismos oráculos.

[25] εἰ μὲν οὖν οὕτως ἔχομεν ὥστε μηδὲ περὶ ἑνὸς ἀντιλέγειν, μηδ᾽ ἐὰν αὐτὴν τὴν Σπάρτην ἐκλιπεῖν προστάττωσιν ἡμῖν, περίεργόν ἐστιν ὑπὲρ Μεσσήνης σπουδάζειν: εἰ δὲ μηδεὶς ἂν ὑμῶν ἀξιώσειε ζῆν ἀποστερούμενος τῆς πατρίδος, προσήκει καὶ περὶ ἐκείνης τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν. τὰ γὰρ αὐτὰ δικαιώματα

25 Ahora bien si estamos en tal situación que no hemos de replicar ni a una sola cosa, ni aunque nos ordenen abandonar la misma Esparta, es absurdo preocupamos de Mesenia. En cambio, si ninguno de vosotros considera digno vivir privado de su patria, conviene que tengáis el mismo parecer

[17] Sólo sobrevivió un hijo de Cresfonte, Épito, según nos dice PAUSANIAS, IV 3.5 y 5.1.

καὶ τοὺς αὐτοὺς λόγους περὶ ἀμφοτέρων αὐτῶν ἔχομεν εἰπεῖν.

sobre Mesenia. Pues podemos alegar idénticos derechos y razones sobre ambas.

[26] ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖν᾽ ὑμᾶς λέληθεν, ὅτι τὰς κτήσεις καὶ τὰς ἰδίας καὶ τὰς κοινάς, ἂν ἐπιγένηται πολὺς χρόνος, κυρίας καὶ πατρῴας ἅπαντες εἶναι νομίζουσιν. ἡμεῖς τοίνυν Μεσσήνην εἵλομεν πρὶν Πέρσας λαβεῖν τὴν βασιλείαν καὶ κρατῆσαι τῆς ἠπείρου, καὶ πρὶν οἰκισθῆναί τινας τῶν πόλεων τῶν Ἑλληνίδων.

26 No se os debe olvidar que todos consideran legítimas y hereditarias las posesiones tanto públicas como privadas, cuando ha transcurrido mucho tiempo[18]. Nosotros conquistamos Mesenia antes de que los persas alcanzaran la soberanía y mandaran en el continente[19], antes incluso de que se fundaran algunas ciudades griegas.

[27] καὶ τούτων ἡμῖν ὑπαρχόντων τῷ μὲν βαρβάρῳ τὴν Ἀσίαν ὡς πατρῴαν οὖσαν ἀποδιδόασιν, ὃς οὔπω διακόσι᾽ ἔτη κατέσχηκε τὴν ἀρχήν, ἡμᾶς δὲ Μεσσήνην ἀποστεροῦσιν, οἳ πλέον διπλάσιον χρόνον ἢ τοσοῦτον τυγχάνομεν ἔχοντες αὐτήν: καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς ἐχθὲς καὶ πρώην ἀναστάτους πεποιήκασι, ταύτην δὲ διὰ τετρακοσίων ἐτῶν μέλλουσι κατοικίζειν, ἀμφότερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράττοντες.

27 Y aunque éste es nuestro caso, entregan Asia al bárbaro como propiedad hereditaria, cuando no hace aún doscientos años que ocupa el poder, y nos privan a nosotros de Mesenia, que es nuestra desde hace doble tiempo o el mismo al menos. Han destruido Tespis y Platea ayer o anteayer[20], y pretenden reconstruir Mesenia después de 400 años[21], actuando en ambos casos en contra de juramentos y tratados.

[28] καὶ εἰ μὲν τοὺς ὡς ἀληθῶς Μεσσηνίους κατῆγον, ἠδίκουν μὲν ἄν, ὅμως δ᾽ εὐλογωτέρως ἂν εἰς ἡμᾶς ἐξημάρτανον: νῦν δὲ τοὺς Εἵλωτας ὁμόρους ἡμῖν παρακατοικίζουσιν, ὥστε μὴ τοῦτ᾽ εἶναι χαλεπώτατον, εἰ τῆς χώρας στερησόμεθα παρὰ τὸ ἀλλ᾽ εἰ τοὺς δούλους τοὺς ἡμετέρους ἐποψόμεθα κυρίους αὐτῆς ὄντας.

28 Y si devolvieran a su patria a los auténticos mesemos, harían una injusticia, pero su mal trato hacia nosotros tendría un fundamento. En lugar de esto ahora hacen vivir a los hilotas como vecinos nuestros, de forma que no sería lo más duro el quitamos la tierra contra justicia, sino que veamos tranquilamente como señores de ella a nuestros esclavos.

[29] ἔτι τοίνυν ἐκ τῶν ἐχομένων γνώσεσθε σαφέστερον ὅτι καὶ νῦν δεινὰ πάσχομεν καὶ τότε Μεσσήνην εἴχομεν δικαίως. πολλῶν γὰρ κινδύνων ἡμῖν γεγενημένων ἤδη ποτὲ ποιήσασθαι τὴν εἰρήνην ἠναγκάσθημεν πολὺ χεῖρον πράττοντες τῶν πολεμίων: ἀλλ᾽ ὅμως ἐν τοιούτοις καιροῖς γιγνομένων τῶν συνθηκῶν,

29 Con más precisión sabréis por lo siguiente que sufrimos ahora cosas indignas y que con toda justicia poseíamos entonces Mesenia. Pues son muchos los riesgos que hemos corrido ya antes y nos hemos visto obligados a hacer la paz cuando estábamos mucho peor que los enemigos. Con todo, en tales circunstancias se han hecho tratados de los que no nos era posible sacar ventaja.

[30] ἐν οἷς οὐχ οἷόν τ᾽ ἦν πλεονεκτεῖν, περὶ μὲν ἄλλων τινῶν ἀμφισβητήσεις ἐγίγνοντο, περὶ

30 Y aunque se producían discusiones sobre algunos puntos, ni el rey persa ni la ciudad de los

[18] No era, desde luego, una norma totalmente legal.

[19] La fundación del imperio persa por Ciro fue el año 559 a. C.

[20] Platea fue destruida el año 373 a. C. (vid. *Plateense*) y Tespis después del 371 a. C. (DIODORO, XV 46.4, y JENOF., *Hel*. VI 3.1).

[21] Todo lo que se refiere a las guerras de Mesenia está rodeado de leyendas; su conquista es hacia el año 724 a. C.

δὲ Μεσσήνης οὔτε βασιλεὺς οὔθ᾽ ἡ τῶν Ἀθηναίων πόλις οὐδὲ πώποθ᾽ ἡμῖν ἐνεκάλεσεν ὡς ἀδίκως κεκτημένοις αὐτήν. καίτοι πῶς ἂν περὶ τοῦ δικαίου κρίσιν ἀκριβεστέραν ταύτης εὕροιμεν τῆς ὑπὸ μὲν τῶν ἐχθρῶν ἐγνωσμένης, ἐν δὲ ταῖς ἡμετέραις δυσπραξίαις γεγενημένης;

atenienses nunca nos reprocharon que hubiéramos adquirido injustamente Mesenia. ¿Cómo encontraríamos un juicio más exacto sobre la justicia de esta ocupación, que el que decidieron los enemigos y se produjo cuando estábamos en situación desesperada?

[31] τὸ τοίνυν μαντεῖον, ὃ πάντες ἂν ὁμολογήσειαν ἀρχαιότατον εἶναι καὶ κοινότατον καὶ πιστότατον, οὐ μόνον ἔγνω τόθ᾽ ἡμετέραν εἶναι Μεσσήνην, ὅτε διδόντων ἡμῖν αὐτὴν τῶν Κρεσφόντου παίδων προσέταξε δέχεσθαι τὴν δωρεὰν καὶ βοηθεῖν τοῖς ἀδικουμένοις, ἀλλὰ καὶ τοῦ πολέμου μακροῦ γιγνομένου πεμψάντων ἀμφοτέρων εἰς Δελφούς, κἀκείνων μὲν σωτηρίαν αἰτούντων, ἡμῶν δ᾽ ἐπερωτώντων ὅτῳ τρόπῳ τάχιστ᾽ ἂν κρατήσαιμεν τῆς πόλεως, τοῖς μὲν οὐδὲν ἀνεῖλεν ὡς οὐ δικαίαν ποιουμένοις τὴν αἴτησιν, ἡμῖν δ᾽ ἐδήλωσε καὶ τὰς θυσίας ἃς ἔδει ποιήσασθαι καὶ βοήθειαν παρ᾽ ὧν μεταπέμψασθαι.

31 El oráculo, reconocido por todos como el más antiguo, imparcial y fiable, no sólo dijo que Mesenia era nuestra[22], cuando al ofrecérnosla los hijos de Cresfonte nos ordenó que la aceptáramos como don y que auxiliáramos a las víctimas, sino que al hacerse mayor la guerra, uno y otro bando fuimos a Delfos, los mesemos a pedir su salvación, nosotros a preguntar cómo conquistaríamos la ciudad con rapidez; a los primeros nada respondió, como si considerase injusta su súplica, y en cambio a nosotros nos reveló los sacrificios que debíamos hacer y a quién había que pedir ayuda[23].

[32] καίτοι πῶς ἄν τις μαρτυρίαν μείζω καὶ σαφεστέραν τούτων παράσχοιτο; φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ τῶν κυρίων τὴν χώραν λαβόντες (οὐδὲν γὰρ κωλύει πάλιν διὰ βραχέων περὶ αὐτῶν διελθεῖν), ἔπειτα κατὰ πόλεμον αὐτὴν ἑλόντες, ὅνπερ τρόπον αἱ πλεῖσται τῶν πόλεων περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν, ἔτι δὲ τοὺς ἠσεβηκότας εἰς τοὺς παῖδας τοὺς Ἡρακλέους ἐκβεβληκότες, οἳ δικαίως ἂν ἐξ ἁπάσης τῆς οἰκουμένης ὑπερωρίσθησαν, πρὸς δὲ τούτοις καὶ τῷ πλήθει τοῦ χρόνου καὶ τῇ τῶν ἐχθρῶν κρίσει καὶ ταῖς τοῦ θεοῦ μαντείαις προσηκόντως ἔχοντες αὐτήν.

32 ¿Qué prueba mayor y más evidente podría aducir? En primer lugar está claro que recibimos la tierra de sus dueños —nada nos impide contarlo de nuevo en pocas palabras—, luego la conquistamos con la guerra, procedimiento por el que en aquellos tiempos se fundaron la mayoría de las ciudades. Además, expulsamos a quienes habían sido impíos con los hijos de Heracles, individuos que con justicia fueron arrojados fuera de toda la tierra civilizada. Por último, por el largo tiempo transcurrido, el dictamen de los enemigos y los oráculos del dios tenemos justamente Mesenia.

[33] ὧν ἓν ἕκαστον ἱκανόν ἐστι διαλῦσαι τοὺς λόγους τῶν τολμώντων κατηγορεῖν ὡς ἢ νῦν διὰ πλεονεξίαν οὐ ποιούμεθα τὴν εἰρήνην, ἢ τότε τῶν ἀλλοτρίων ἐπιθυμοῦντες ἐπολεμήσαμεν πρὸς Μεσσηνίους. περὶ μὲν οὖν τῆς κτήσεως ἔνεστι μὲν ἴσως πλείω τούτων

33 Cada uno de estos motivos es suficiente para refutar las palabras de quienes se atreven a acusarnos de que ahora no firmamos la paz por avaricia o de que hicimos la guerra a los mesenios por desear propiedades ajenas. Quizá sería posible

[22] Noticia de ese oráculo nos da PAUSANIAS, IV 12.
[23] Durante la segunda guerra de Mesenia (685-668 a. C.) el poeta espartano Tirteo había ido a Atenas a pedir ayuda.

εἰπεῖν, οὐ μὴν ἀλλὰ καὶ ταῦθ᾽ ἱκανῶς εἰρῆσθαι νομίζω.

hablar más de esta posesión nuestra, pero creo que basta con lo dicho.

[34] λέγουσι δ᾽ οἱ συμβουλεύοντες ἡμῖν ποιεῖσθαι τὴν εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας μὴ τὴν αὐτὴν γνώμην ἔχειν περὶ τῶν πραγμάτων εὐτυχοῦντας καὶ δυστυχοῦντας, ἀλλὰ πρὸς τὸ παρὸν ἀεὶ βουλεύεσθαι καὶ ταῖς τύχαις ἐπακολουθεῖν καὶ μὴ μεῖζον φρονεῖν τῆς δυνάμεως, μηδὲ τὸ δίκαιον ἐν τοῖς τοιούτοις καιροῖς ἀλλὰ τὸ συμφέρον ζητεῖν.

34 Dicen quienes nos aconsejan hacer la paz, que las gentes sensatas no deben tener un criterio idéntico cuando las cosas les van bien y cuando les van mal. Por el contrario, tienen que deliberar siempre de acuerdo con el momento presente, atenerse al azar, no ambicionar más de lo que las fuerzas permiten, ni pretender lo justo en tales circunstancias sino lo conveniente.

[35] ἐγὼ δὲ περὶ μὲν τῶν ἄλλων ὁμολογῶ τούτοις, ὅπως δὲ χρὴ τοῦ δικαίου ποιεῖσθαί τι προὐργιαίτερον οὐδεὶς ἂν με λέγων πείσειεν. ὁρῶ γὰρ καὶ τοὺς νόμους ἕνεκα τούτου κειμένους, καὶ τοὺς ἄνδρας τοὺς καλοὺς κἀγαθοὺς ἐπὶ τούτῳ φιλοτιμουμένους, καὶ τὰς εὖ πολιτευομένας πόλεις περὶ τούτου μάλιστα σπουδαζούσας,

35 Yo estoy de acuerdo con esta opinión en los demás extremos, pero nadie me podrá convencer de que algo debe considerarse más importante que la justicia. Porque veo que es por ella por la que están establecidas las leyes, que de ella se ufanan los hombres honrados, y que las ciudades bien gobernadas se aplican muchísimo a ella.

[36] ἔτι δὲ τοὺς πολέμους τοὺς προγεγενημένους οὐ κατὰ τὰς δυνάμεις ἀλλὰ κατὰ τὸ δίκαιον τὸ τέλος ἅπαντας εἰληφότας, ὅλως δὲ τὸν βίον τὸν τῶν ἀνθρώπων διὰ μὲν κακίαν ἀπολλύμενον, δι᾽ ἀρετὴν δὲ σῳζόμενον. ὥστ᾽ οὐκ ἀθυμεῖν δεῖ τοὺς ὑπὲρ τῶν δικαίων κινδυνεύειν μέλλοντας, ἀλλὰ πολὺ μᾶλλον τοὺς ὑβρίζοντας καὶ τοὺς τὰς εὐτυχίας μὴ μετρίως φέρειν ἐπισταμένους.

36 Hasta las guerras antiguas acabaron todas ellas recurriendo a la justicia, no a la fuerza[24]. En resumen, la vida humana perece por la maldad y se salva con la virtud. Por eso no tienen que desanimarse quienes piensan arriesgarse en favor de la justicia, sino mucho más los soberbios y los que no saben llevar con moderación su buena suerte.

[37] ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν: νυνὶ γὰρ περὶ μὲν τοῦ δικαίου πάντες τὴν αὐτὴν γνώμην ἔχομεν, περὶ δὲ τοῦ συμφέροντος ἀντιλέγομεν. δυοῖν δὲ προτεινομένοιν ἀγαθοῖν, καὶ τοῦ μὲν ὄντος προδήλου τοῦ δὲ ἀγνοουμένου, πῶς οὐκ ἂν ποιήσαιτε καταγέλαστον, εἰ τὸ μὲν ὁμολογούμενον ἀποδοκιμάσαιτε, τὸ δ᾽ ἀμφισβητούμενον ἑλέσθαι δόξειεν ὑμῖν, ἄλλως τε καὶ τῆς αἱρέσεως τοσοῦτον διαφερούσης;

37 Hay que considerar también otra cosa. Ahora, todos tenemos idéntica opinión sobre lo que es justo, pero discrepamos sobre lo que es conveniente. Propuestos estos dos bienes, uno evidente, el otro oscuro ¿cómo no haríais el ridículo si da la impresión de que rechazáis aquello en lo que hay acuerdo y de que elegís lo discutido, sobre todo cuando la elección es tan diferente?

[38] ἐν μὲν γὰρ τοῖς ἐμοῖς λόγοις ἔνεστι μηδὲν μὲν προέσθαι τῶν ὑμετέρων αὐτῶν μηδ᾽

38 No existe en mis palabras la posibilidad de abandonar vuestras cosas ni de arrojar a la ciudad

[24] Es sin duda Isócrates el que habla aquí por boca de Arquidamo, al establecer la norma de una política moral.

αἰσχύνῃ μηδεμιᾷ τὴν πόλιν περιβαλεῖν, ὑπὲρ δὲ τῶν δικαίων κινδυνεύοντας ἐλπίζειν ἄμεινον ἀγωνιεῖσθαι τῶν ἐχθρῶν, ἐν δὲ τοῖς τούτων ἀφεστάναι μὲν ἤδη Μεσσήνης, προεξαμαρτόντας δὲ τοῦτ᾽ εἰς ὑμᾶς αὐτοὺς τυχὸν καὶ τοῦ συμφέροντος καὶ τοῦ δικαίου καὶ τῶν ἄλλων ἁπάντων ὧν προσδοκᾶτε διαμαρτεῖν.

a vergüenza alguna, sino esperanza de arriesgamos por la justicia para luchar mejor contra los enemigos. En cambio, las palabras de mis contrarios sostienen que se abandone ya Mesenia[25], y una vez que empecéis a perjudicaros a vosotros mismos, pronto fracasaréis en lo conveniente, en lo justo y en todas las demás cosas que esperáis.

[39] καὶ γὰρ οὐδὲ τοῦτό πω φανερόν ἐστιν, ὡς ἂν ποιήσωμεν τὰ κελευόμενα, βεβαίως ἤδη τὴν εἰρήνην ἄξομεν. οἶμαι γὰρ ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι πάντες εἰώθασι πρὸς μὲν τοὺς ἀμυνομένους περὶ τῶν δικαίων διαλέγεσθαι, τοῖς δὲ λίαν ἑτοίμως ποιοῦσι τὸ προσταττόμενον ἀεὶ πλείω προσεπιβάλλειν οἷς ἂν ἐξ ἀρχῆς διανοηθῶσιν, ὥστε συμβαίνειν βελτίονος εἰρήνης τυγχάνειν τοὺς πολεμικῶς διακειμένους τῶν ῥᾳδίως τὰς ὁμολογίας ποιουμένων.

39 Lo que, en efecto, no queda claro en modo alguno es que, si cumplimos las órdenes, tendremos una paz estable. Pues creo que no ignoráis que todos acostumbran a discutir en términos de justicia con quienes se defienden, y, en cambio, a los que cumplen con mucho afán lo ordenado, siempre se les impone más de lo que al principio pensaban. Por eso ocurre que alcanzan mejores condiciones de paz los belicosos que los, que fácilmente aceptan los acuerdos[26].

[40] ἵνα δὲ μὴ δοκῶ περὶ ταῦτα πολὺν χρόνον διατρίβειν, ἁπάντων τῶν τοιούτων ἀφέμενος ἐπὶ τὸν ἁπλούστατον ἤδη τρέψομαι τῶν λόγων. εἰ μὲν γὰρ μηδένες πώποτε τῶν δυστυχησάντων ἀνέλαβον αὑτοὺς μηδ᾽ ἐπεκράτησαν τῶν ἐχθρῶν, οὐδ᾽ ἡμᾶς εἰκὸς ἐλπίζειν περιγενήσεσθαι πολεμοῦντας: εἰ δὲ πολλάκις γέγονεν ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι καὶ τοὺς πολιορκοῦντας ὑπὸ τῶν κατακεκλειμένων διαφθαρῆναι, τί θαυμαστὸν εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεταί τινα μετάστασιν;

40 Para no dar la impresión de que gasto mucho tiempo, dejaré de lado todas estas cosas para dedicar ya mi discurso a lo más simple. Si ningún pueblo desdichado se hubiera recobrado jamás ni hubiera vencido a sus enemigos, sería absurdo que esperáramos salvarnos mediante la guerra. Pero si muchas veces ha sucedido que los más fuertes han sido derrotados por los más débiles, y que los sitiadores han sido destrozados por los sitiados [que eran inferiores], ¿por qué admirarse de que la situación actual vaya a admitir algún cambio?

[41] ἐπὶ μὲν οὖν τῆς ἡμετέρας πόλεως οὐδὲν ἔχω τοιοῦτον εἰπεῖν: ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις οὐδένες πώποτε κρείττους ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον: ἐπὶ δὲ τῶν ἄλλων πολλοῖς ἄν τις παραδείγμασι χρήσαιτο, καὶ μάλιστ᾽ ἐπὶ τῆς πόλεως τῆς Ἀθηναίων.

41 De nuestra ciudad no puedo poner ningún ejemplo parecido. Pues hasta el día de hoy nunca se lanzaron sobre esta tierra pueblos más fuertes que nosotros[27]. Pero cualquiera podría utilizar muchos ejemplos de otras ciudades, y sobre todo de la ciudad de los atenienses.

[25] Mesenia era independiente de hecho el año 369 a. C.

[26] Exactamente lo contrario afirman los embajadores atenienses que dialogaron con los melios, según nos cuenta Tucídides.

[27] Lo que dice Arquidamo es falso, pues el tebano Epaminondas había invadido Lacedemonia en el invierno del 370-69 a. C. Más tarde en el párrafo 56 admite esa invasión.

[42] τούτους γὰρ εὑρήσομεν, ἐξ ὧν μὲν τοῖς ἄλλοις προσέταττον, πρὸς τοὺς Ἕλληνας διαβληθέντας, ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ἠμύναντο, παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας. τοὺς μὲν οὖν παλαιοὺς κινδύνους εἰ διεξιοίην, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας ἢ Θρᾷκας ἢ Πελοποννησίους τοὺς μετ᾽ Εὐρυσθέως εἰς τὴν χώραν αὐτῶν εἰσβαλόντας, ἴσως ἀρχαῖα καὶ πόρρω τῶν νῦν παρόντων λέγειν ἂν δοκοίην: ἐν δὲ τῷ Περσικῷ πολέμῳ τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν κατέστησαν;

42 Descubriremos, en efecto, que los atenienses incurrieron en el odio de los griegos por las órdenes que daban a otros[28], pero que gozaron de enorme estimación entre todos los hombres cuando rechazaban a los soberbios. Si contara en detalle los riesgos que en otro tiempo hicieron correr a las amazonas, a los tracios o a los peloponesios[29] que se lanzaron contra su tierra con Euristeo, quizá parecería que cuento relatos antiguos y alejados del presente. Pero ¿quién ignora que, en la guerra pérsica pasaron de las mayores desgracias a la felicidad más completa?[30].

[43] μόνοι γὰρ τῶν ἔξω Πελοποννήσου κατοικούντων, ὁρῶντες τὴν τῶν βαρβάρων δύναμιν ἀνυπόστατον οὖσαν, οὐκ ἠξίωσαν βουλεύσασθαι περὶ τῶν προσταττομένων αὐτοῖς, ἀλλ᾽ εὐθὺς εἵλοντο περιιδεῖν ἀνάστατον τὴν πόλιν γεγενημένην μᾶλλον ἢ δουλεύουσαν. ἐκλιπόντες δὲ τὴν χώραν, καὶ πατρίδα μὲν τὴν ἐλευθερίαν νομίσαντες, κοινωνήσαντες δὲ τῶν κινδύνων ἡμῖν, τοσαύτης μεταβολῆς ἔτυχον, ὥστε ὀλίγας ἡμέρας στερηθέντες τῶν αὑτῶν πολὺν χρόνον τῶν ἄλλων δεσπόται κατέστησαν.

43 Fueron los únicos de cuantos habitan fuera del Peloponeso que, aun viendo irresistible el poder de los bárbaros, pensaron que no debían deliberar sobre lo que se les ordenaba[31], sino que prefirieron ver su ciudad arrasada antes que esclavizada. Abandonaron su tierra, determinaron que su patria era la libertad, se unieron a nosotros ante los peligros y obtuvieron un cambio de situación tan grande, que, privados de su patria unos pocos días, se hicieron señores de los demás durante mucho tiempo.

[44] οὐ μόνον δ᾽ ἐπὶ ταύτης ἄν τις τῆς πόλεως ἐπιδείξειε τὸ τολμᾶν ἀμύνεσθαι τοὺς ἐχθρούς, ὡς πολλῶν ἀγαθῶν αἴτιόν ἐστιν, ἀλλὰ καὶ Διονύσιος ὁ τύραννος καταστὰς εἰς πολιορκίαν ὑπὸ Καρχηδονίων, οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑποφαινομένης, ἀλλὰ καὶ τῷ πολέμῳ κατεχόμενος καὶ τῶν πολιτῶν δυσκόλως πρὸς αὐτὸν διακειμένων, αὐτὸς μὲν ἐμέλλησεν ἐκπλεῖν, τῶν δὲ χρωμένων τινὸς τολμήσαντος εἰπεῖν ὡς καλόν ἐστιν ἐντάφιον ἡ τυραννίς,

44 No sólo con lo ocurrido a esta ciudad se podría demostrar que el atreverse a rechazar a los enemigos es causa de muchos bienes. También Dionisio el tirano, cuando fue sitiado por los cartagineses, sin vislumbrar salvación alguna, oprimido por la güera y soliviantados con él sus conciudadanos, pensó en huir por mar. Pero uno de sus íntimos se atrevió a decirle que la tiranía es un hermoso sudario[32].

[45] αἰσχυνθεὶς ἐφ᾽ οἷς διενοήθη καὶ πάλιν ἐπιχειρήσας πολεμεῖν, πολλὰς μὲν μυριάδας

45 Entonces se avergonzó de lo que pensaba e intentó de nuevo combatir. Aniquiló muchas

[28] Cf. *Panegírico* 100-109.
[29] Cf. *Panegírico* 56 y 70.
[30] Cf. *Panegírico* 71-98.
[31] Véanse los términos de la rendición en HERÓD., VII 133.
[32] Dionisio tuvo enfrentamientos con Cartago los años 404 y 396 a. C. ¿En cuál ocurrió la anécdota que aquí se cuenta? DIODORO en XIV 8 y XX 78 parece referirse a la primera fecha, pero también en XIV 64 y ss. nos da como ocurrida en la segunda.

Καρχηδονίων διέφθειρεν, ἐγκρατεστέραν δὲ τὴν ἀρχὴν τὴν τῶν πολιτῶν κατεστήσατο, πολὺ δὲ μείζω τὴν δύναμιν τὴν αὑτοῦ τῆς πρότερον ὑπαρχούσης ἐκτήσατο, τυραννῶν δὲ τὸν βίον διετέλεσε, καὶ τὸν υἱὸν ἐν ταῖς αὐταῖς τιμαῖς καὶ δυναστείαις, ἐν αἷσπερ αὐτὸς ἦν, κατέλιπεν.

decenas de miles de cartagineses, se hizo con un poder más fuerte sobre sus ciudadanos, adquirió un poderío mucho mayor del que antes tenía, pasó su vida como tirano y dejó a su hijo los mismos honores y poderes que él tenía.

[46] παραπλήσια δὲ τούτοις Ἀμύντας ὁ Μακεδόνων βασιλεὺς ἔπραξεν. ἡττηθεὶς γὰρ ὑπὸ τῶν βαρβάρων τῶν προσοικούντων μάχῃ καὶ πάσης Μακεδονίας ἀποστερηθεὶς τὸ μὲν πρῶτον ἐκλιπεῖν τὴν χώραν διενοήθη καὶ τὸ σῶμα διασῴζειν, ἀκούσας δέ τινος ἐπαινοῦντος τὸ πρὸς Διονύσιον ῥηθέν, καὶ μεταγνοὺς ὥσπερ ἐκεῖνος, χωρίον μικρὸν καταλαβὼν καὶ βοήθειαν ἐνθένδε μεταπεμψάμενος ἐντὸς μὲν τριῶν μηνῶν κατέσχεν ἅπασαν Μακεδονίαν, τὸν δ᾽ ἐπίλοιπον χρόνον βασιλεύων γήρᾳ τὸν βίον ἐτελεύτησεν.

46 Cosas parecidas a éstas hizo el rey Amintas de Macedonia. Pues, al ser vencido en combate por sus vecinos bárbaros y privado de toda Macedonia, al principio pensó abandonar su tierra y poner a salvo su persona. Pero oyó que uno elogiaba la frase dicha a Dionisio y, como aquél, cambió de parecer. Ocupó un pequeño territorio y desde allí pidió ayuda. En tres meses ocupó toda Macedonia y pasó el resto de su vida hasta su vejez como rey[33].

[47] ἀπείποιμεν δ᾽ ἂν ἀκούοντές τε καὶ λέγοντες, εἰ πάσας τὰς τοιαύτας πράξεις ἐξετάζοιμεν, ἐπεὶ καὶ τῶν περὶ Θήβας πραχθέντων εἰ μνησθείημεν, ἐπὶ μὲν τοῖς γεγενημένοις ἂν λυπηθεῖμεν, περὶ δὲ τῶν μελλόντων βελτίους ἐλπίδας ἂν λάβοιμεν. τολμησάντων γὰρ αὐτῶν ὑπομεῖναι τὰς εἰσβολὰς καὶ τὰς ἀπειλὰς τὰς ἡμετέρας, εἰς τοῦθ᾽ ἡ τύχη τὰ πράγματ᾽ αὐτῶν περιέστησεν, ὥστε τὸν ἄλλον χρόνον ὑφ᾽ ἡμῖν ὄντες νῦν ἡμῖν προστάττειν ἀξιοῦσιν.

47 Si examináramos todas las acciones parecidas nos cansaríamos de contarlas y oírlas. Pero si recordamos lo que ocurrió en Tebas, nos afligiríamos por lo pasado, pero tendríamos mejores esperanzas para el futuro. Los tebanos se atrevieron a sostener nuestros ataques y amenazas hasta que la suerte dio tal vuelta a sus asuntos, que pasaron de súbditos nuestros en otro tiempo a creer que nos debían dar órdenes ahora.

[48] ὅστις οὖν ὁρῶν τοσαύτας μεταβολὰς γεγενημένας ἐφ᾽ ἡμῶν οἴεται παύσεσθαι, λίαν ἀνόητός ἐστιν: ἀλλὰ δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαρρεῖν περὶ τῶν μελλόντων, ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ καὶ ταῖς περὶ τὸν πόλεμον ἐμπειρίαις. περὶ ὧν οὐδεὶς ἂν τολμήσειεν ἀντειπεῖν, ὡς οὐ τὴν μὲν ἐμπειρίαν μᾶλλον τῶν ἄλλων ἔχομεν, πολιτείαν δ᾽ οἵαν εἶναι χρή, παρὰ μόνοις ἡμῖν ἐστιν. ὧν ὑπαρχόντων οὐκ ἔστιν ὅπως οὐκ

48 Quien al ver los enormes cambios producidos crea que ya no los habrá en la actualidad, es muy insensato. Es preciso, por el contrario, que nos mantengamos firmes en las circunstancias presentes y confiemos en las futuras, por saber que ante desastres semejantes las ciudades mejoran su política y su experiencia en la guerra. Sobre esto nadie se atrevería a decir que no tenemos más experiencia que los demás, ni que somos los únicos que poseemos una constitución capaz para ello. Si nos pertenecen ambas cosas, es imposible que no

[33] Amintas, rey de Macedonia, padre de Filipo, reinó entre los años 394-370 a. C. fue derrotado por los ilirios el 393 a. C. y efectivamente se rehízo (DIODORO, XIV 92.3).

ἄμεινον πράξομεν τῶν μηδετέρου τούτων πολλὴν ἐπιμέλειαν πεποιημένων.

obremos mejor que quienes nunca han puesto mucho cuidado en estas dos cuestiones.

[49] κατηγοροῦσι δέ τινες τοῦ πολέμου, καὶ διεξέρχονται τὴν ἀπιστίαν αὐτοῦ, τεκμηρίοις ἄλλοις τε πολλοῖς χρώμενοι καὶ μάλιστα τοῖς περὶ ἡμᾶς γεγενημένοις, καὶ θαυμάζουσιν εἴ τινες οὕτω χαλεπῷ καὶ παραβόλῳ πράγματι πιστεύειν ἀξιοῦσιν.
ἐγὼ δὲ πολλοὺς μὲν οἶδα διὰ τὸν πόλεμον μεγάλην εὐδαιμονίαν κτησαμένους, πολλοὺς δὲ τῆς ὑπαρχούσης ἀποστερηθέντας διὰ τὴν εἰρήνην:

49 Algunos critican la guerra y describen la inseguridad de su resultado. Utilizan muchos y diferentes ejemplos y sobre todo lo que nos ha ocurrido a nosotros. Se admiran de que haya quien confíe en un asunto tan difícil y peligroso.

Pero yo sé que muchos obtuvieron una enorme felicidad gracias a la guerra y muchos también por culpa de la paz perdieron lo que tenían.

[50] οὐδὲν γὰρ τῶν τοιούτων ἐστὶν ἀποτόμως οὔτε κακὸν οὔτ᾽ ἀγαθόν, ἀλλ᾽ ὡς ἂν χρήσηταί τις τοῖς πράγμασι καὶ τοῖς καιροῖς, οὕτως ἀνάγκη καὶ τὸ τέλος ἐκβαίνειν ἐξ αὐτῶν. χρὴ δὲ τοὺς μὲν εὖ πράττοντας τῆς εἰρήνης ἐπιθυμεῖν: ἐν ταύτῃ γὰρ τῇ καταστάσει πλεῖστον ἄν τις χρόνον τὰ παρόντα διαφυλάξειεν: τοὺς δὲ δυστυχοῦντας τῷ πολέμῳ προσέχειν τὸν νοῦν: ἐκ γὰρ τῆς ταραχῆς καὶ τῆς καινουργίας θᾶττον ἂν μεταβολῆς τύχοιεν. ὧν ἡμεῖς δέδοικα μὴ τἀναντία πράττοντες φανῶμεν:

50 Porque ni la paz ni la guerra son un mal o un bien absoluto, sino que, según como se las utilice en las dificultades y oportunidades, así necesariamente será su resultado. Quienes están en buena situación deben desear la paz —pues en ese estado mantendrían por más tiempo su prosperidad actual—, pero los desdichados han de poner su atención en la guerra, porque con el desorden y renovación que produce, más rápidamente cambiarían su fortuna.

[51] ὅτε μὲν γὰρ ἐξῆν ἡμῖν τρυφᾶν, πλείους τοὺς πολέμους ἐποιούμεθα τοῦ δέοντος, ἐπειδὴ δ᾽ εἰς ἀνάγκην καθέσταμεν ὥστε κινδυνεύειν, ἡσυχίας ἐπιθυμοῦμεν καὶ περὶ ἀσφαλείας βουλευόμεθα. καίτοι χρὴ τοὺς βουλομένους ἐλευθέρους εἶναι τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν ὡς ἐγγὺς δουλείας οὔσας, ποιεῖσθαι δὲ τὰς διαλλαγάς, ὅταν ἢ περιγένωνται τῶν ἐχθρῶν ἢ τὴν δύναμιν τὴν αὑτῶν ἐξισώσωσιν τῇ τῶν πολεμίων: ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν, οἵαν περ ἂν τοῦ πολέμου ποιήσωνται τὴν κατάλυσιν.

51 Temo que parezca que nosotros hacemos lo contrario. Pues cuando podíamos vivir tranquilos hacíamos más guerras de las necesarias, y cuando nos vemos obligados a correr peligros, ansiamos tranquilidad y deliberamos sobre nuestra seguridad. Hace falta que quienes desean ser libres rehúyan los tratados que son órdenes y casi una esclavitud, y hagan reconciliaciones cuando venzan a los enemigos o cuando igualen su poder con el de aquéllos. Así cada uno tendrá la paz que corresponda a las condiciones en que terminaron la guerra.

[52] ὧν ἐνθυμουμένους χρὴ μὴ προπετῶς ὑμᾶς αὐτοὺς ἐμβαλεῖν εἰς αἰσχρὰς ὁμολογίας, μηδὲ ῥαθυμότερον ὑπὲρ τῆς πατρίδος ἢ τῶν ἄλλων φανῆναι βουλευομένους. ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτοὺς ὅτι τὸν παρελθόντα χρόνον, εἰ πολιορκουμένῃ τινὶ τῶν πόλεων τῶν

52 Si pensamos esto, no debemos lanzarnos precipitadamente a acuerdos vergonzosos, ni deliberar sobre nuestra patria con más despreocupación que otros. Recordad que en otro tiempo, si un solo lacedemonio corría en auxilio de alguna ciudad aliada sitiada, todos reconocían que

συμμαχίδων εἷς μόνος Λακεδαιμονίων βοηθήσειεν, ὑπὸ πάντων ἂν ὡμολογεῖτο παρὰ τοῦτον γενέσθαι τὴν σωτηρίαν αὐτοῖς. καὶ τοὺς μὲν πλείστους τῶν τοιούτων ἀνδρῶν παρὰ τῶν πρεσβυτέρων ἄν τις ἀκούσειεν, τοὺς δ᾽ ὀνομαστοτάτους ἔχω κἀγὼ διελθεῖν.

con él venía su salvación. Cualquiera podría oír hablar a nuestros mayores de muchos hombres así, pero yo también puedo mencionar a los más famosos.

[53] Πεδάριτος μὲν γὰρ εἰς Χίον εἰσπλεύσας τὴν πόλιν αὐτῶν διέσωσε: Βρασίδας δ᾽ εἰς Ἀμφίπολιν εἰσελθών, ὀλίγους περὶ αὑτὸν τῶν πολιορκουμένων συνταξάμενος, πολλοὺς ὄντας τοὺς πολιορκοῦντας ἐνίκησε μαχόμενος: Γύλιππος δὲ Συρακοσίοις βοηθήσας οὐ μόνον ἐκείνους διέσωσεν, ἀλλὰ καὶ τὴν δύναμιν τὴν κρατοῦσαν αὐτῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἅπασαν αἰχμάλωτον ἔλαβεν.

53 Pedarito[34] navegó a Quíos y salvó su ciudad. Brásidas[35] entró en Anfípolis, reunió en torno suyo a unos pocos de los sitiados y venció en combate a los sitiadores que eran muchos. Gilipo[36] vino en ayuda de los siracusanos y no sólo los salvó sino que apresó a todo el ejército que los acosaba por tierra y mar.

[54] καίτοι πῶς οὐκ αἰσχρὸν τότε μὲν ἕκαστον ἡμῶν ἱκανὸν εἶναι τὰς ἀλλοτρίας πόλεις διαφυλάττειν, νυνὶ δὲ πάντας μηδὲ πειρᾶσθαι τὴν ἡμετέραν αὐτῶν διασῴζειν; καὶ τὴν μὲν Εὐρώπην καὶ τὴν Ἀσίαν μεστὴν πεποιηκέναι τροπαίων ὑπὲρ τῶν ἄλλων πολεμοῦντας, ὑπὲρ δὲ τῆς πατρίδος οὕτω φανερῶς ὑβριζομένης μηδὲ μίαν μάχην ἀξίαν λόγου φαίνεσθαι μεμαχημένους;

54 ¿Cómo no sería una vergüenza que en otra época uno sólo de nosotros haya sido capaz de guardar ciudades ajenas y, en cambio, ahora ni podamos ni intentemos salvar la nuestra propia todos? Si hemos levantado trofeos en Europa y en toda Asia cuando luchábamos en beneficio de otros, ¿no haremos ni un solo combate digno de mención en favor de nuestra patria tan claramente insultada?

[55] ἀλλ᾽ ἑτέρας μὲν πόλεις ὑπὲρ τῆς ἡμετέρας ἀρχῆς τὰς ἐσχάτας ὑπομεῖναι πολιορκίας, αὐτοὺς δ᾽ ἡμᾶς, ὑπὲρ τοῦ μηδὲν ἀναγκασθῆναι παρὰ τὸ δίκαιον ποιεῖν, μηδὲ μικρὰν οἴεσθαι δεῖν ὑπενεγκεῖν κακοπάθειαν, ἀλλὰ ζεύγη μὲν ἵππων ἀδηφαγούντων ἔτι καὶ νῦν ὁρᾶσθαι τρέφοντας, ὥσπερ δὲ τοὺς εἰς τὰς δεινοτάτας ἀνάγκας ἀφιγμένους καὶ τῶν καθ᾽ ἡμέραν ἐνδεεῖς ὄντας, οὕτω ποιεῖσθαι τὴν εἰρήνην;

55 Y si otras ciudades han resistido los asedios más duros en defensa de nuestro imperio[37] ¿creemos nosotros que no debemos soportar ni un pequeño sufrimiento para no vernos obligados a actuar contra justicia? ¿Se nos verá incluso ahora criar troncos de costosos caballos[38], mientras hacemos la paz como un pueblo que ha llegado a extrema necesidad y anda falto hasta del sustento cotidiano?

[56] ὃ δὲ πάντων σχετλιώτατον, εἰ φιλοπονώτατοι δοκοῦντες εἶναι τῶν Ἑλλήνων

56 Lo peor de todo sería que discutiéramos sobre estos asuntos con más negligencia que otros,

---

[34] Harmosta de Quíos ayudó a los isleños que se sublevaron contra el dominio ateniense (TUC., VIII 553).

[35] Brásidas socorrió a Anfípolis luchando contra el general ateniense Cleón. En esta acción Brásidas perdió la vida y desde entonces fue considerado como héroe local en Anfípolis (TUC., V 8.11).

[36] Gilipo venció al general ateniense Nicias y capturó a todo su ejército en la desastrosa campaña de Sicilia el año 414 a. C.

[37] Tespis y Orcómeno sobre todo (cf. JENOF., *Hel*. VI 3.1-4).

[38] Caballos de carreras, ya que, según nos dice JENOF. en *Hel*. VI 4, 11, la caballería militar lacedemonia estaba mal organizada.

ῥαθυμότερον τῶν ἄλλων βουλευσόμεθα περὶ τούτων. τίνας γὰρ ἴσμεν, ὧν καὶ ποιήσασθαι μνείαν ἄξιόν ἐστιν, οἵτινες ἅπαξ ἡττηθέντες καὶ μιᾶς εἰσβολῆς γενομένης οὕτως ἀνάνδρως ὡμολόγησαν πάντα τὰ προσταττόμενα ποιήσειν; πῶς δ᾽ ἂν οἱ τοιοῦτοι πολὺν χρόνον δυστυχοῦντες ἀνταρκέσειαν;

cuando somos los griegos con más fama ele dureza. ¿Sabemos de algún pueblo digno de mención que vencido una sola vez y ante una única invasión[39] se haya plegado a obedecer las órdenes tan cobardemente? ¿Cómo ese pueblo soportaría una desgracia prolongada?

[57] τίς δ᾽ οὐκ ἂν ἐπιτιμήσειεν ἡμῖν, εἰ Μεσσηνίων ὑπὲρ ταύτης τῆς χώρας εἴκοσιν ἔτη πολιορκηθέντων ἡμεῖς οὕτω ταχέως κατὰ συνθήκας αὐτῆς ἀποσταίημεν, καὶ μηδὲ τῶν προγόνων μνησθείημεν, ἀλλ᾽ ἣν ἐκεῖνοι μετὰ πολλῶν πόνων καὶ κινδύνων ἐκτήσαντο, ταύτην ἡμεῖς ὑπὸ λόγων πεισθέντες ἀποβάλοιμεν;

57 ¿Quién no nos censuraría, si los mesenios resistieron 20 años el asedio en defensa dé su tierra[40], que nosotros renunciáramos a ella con tanta rapidez mediante tratados? ¿Quién no lo haría, si olvidándonos de nuestros antepasados, que con muchos trabajos y peligros adquirieron aquella tierra, nosotros la abandonáramos convencidos por palabras?

[58] ὧν οὐδὲν ἔνιοι φροντίσαντες, ἀλλὰ πάσας τὰς αἰσχύνας ὑπεριδόντες, τοιαῦτα συμβουλεύουσιν ὑμῖν, ἐξ ὧν εἰς ὀνείδη τὴν πόλιν καταστήσουσιν. οὕτω δὲ προθύμως ἐπάγουσιν ὑμᾶς πρὸς τὸ παραδοῦναι Μεσσήνην, ὥστε καὶ διεξελθεῖν ἐτόλμησαν τήν τε τῆς πόλεως ἀσθένειαν καὶ τὴν τῶν πολεμίων δύναμιν, καὶ κελεύουσιν, ἀποκρίνασθαι τοὺς ἐναντιουμένους αὐτοῖς, πόθεν βοήθειαν προσδοκῶντες ἥξειν διακελευόμεθα πολεμεῖν.

58 Nada de esto piensan algunos, sino que, desdeñando todo pudor, os dan unos consejos que llevarían la ciudad al deshonor. Con tanto entusiasmo os impulsan a entregar Mesenia que se atrevieron a contar la debilidad de nuestra ciudad y el poderío de los enemigos. Y nos obligan a quienes somos sus adversarios a responder de dónde pensamos obtener ayuda para exhortaros a luchar.

[59] ἐγὼ δὲ μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν (εἰκὸς γὰρ καὶ τὴν τῶν θεῶν εὔνοιαν γενέσθαι μετὰ τούτων, εἴπερ χρὴ περὶ τῶν μελλόντων τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις), πρὸς δὲ ταύτῃ τὸ καλῶς πολιτεύεσθαι καὶ σωφρόνως ζῆν καὶ μέχρι θανάτου μάχεσθαι τοῖς πολεμίοις ἐθέλειν καὶ μηδὲν οὕτω δεινὸν νομίζειν ὡς τὸ κακῶς ἀκούειν ὑπὸ τῶν πολιτῶν: ἃ μᾶλλον ἡμῖν ἢ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει.

59 Yo creo que la alianza más grande y firme es el actuar con justicia[41] —pues es verosímil que quienes obran así tengan la benevolencia divina, si hay que demostrar con los sucesos ya pasados los futuros— y además el gobernarse bien, el vivir con prudencia, el querer luchar contra los enemigos hasta la muerte y el pensar que no hay nada más terrible que la mala opinión de los conciudadanos. Nosotros poseemos estas cosas en mayor medida que los demás hombres.

[60] μεθ᾽ ὧν ἐγὼ πολὺ ἂν ἥδιον πολεμοίην ἢ μετὰ πολλῶν μυριάδων: οἶδα γὰρ καὶ τοὺς πρώτους ἡμῶν εἰς ταύτην τὴν χώραν

60 Con su ayuda yo combatiría mucho más gustosamente que con el concurso de muchas decenas de miles de hombres. Sé que los primeros

[39] La del general tebano Epaminondas que comentamos en nota anterior.
[40] Durante la primera guerra de Mesenia; cf. PAUS., IV 13.4.
[41] Cf. nota 24.

ἀφικομένους οὐ τῷ πλήθει τῶν ἄλλων περιγενομένους, ἀλλὰ ταῖς ἀρεταῖς ταῖς ταῖς ὑπ᾽ ἐμοῦ προειρημέναις. ὥστ᾽ οὐκ ἄξιον διὰ τοῦτο φοβεῖσθαι τοὺς πολεμίους, ὅτι πολλοὶ τυγχάνουσιν ὄντες, ἀλλὰ πολὺ μᾶλλον ἐπ᾽ ἐκείνοις θαρρεῖν, ὅταν ὁρῶμεν ἡμᾶς μὲν αὐτοὺς οὕτως ἐνηνοχότας τὰς συμφορὰς ὡς οὐδένες ἄλλοι πώποτε,

de nosotros que llegaron a esta tierra no vencieron por su número a sus anteriores habitantes, sino por las virtudes que acabo de contar. Así que no es motivo para temer a los enemigos el que sean muchos, antes bien, debemos confiar mucho cuando vemos que somos nosotros los que hemos soportado las desgracias como nunca otros lo hicieron,

[61] καὶ τοῖς τε νόμοις καὶ τοῖς ἐπιτηδεύμασιν ἐμμένοντας οἷς ἐξ ἀρχῆς κατεστησάμεθα, τοὺς δὲ μηδὲ τὰς εὐτυχίας φέρειν δυναμένους, ἀλλὰ διατεταραγμένους, καὶ τοὺς μὲν τὰς συμμαχίδας πόλεις καταλαμβάνοντας, τοὺς δὲ τἀναντία τούτοις πράττοντας, ἄλλους δὲ περὶ χώρας τοῖς ὁμόροις ἀμφισβητοῦντας, τοὺς δὲ μᾶλλον ἀλλήλοις φθονοῦντας ἢ πρὸς ἡμᾶς πολεμοῦντας. ὥστε θαυμάζω τῶν μείζω συμμαχίαν ζητούντων, ὧν οἱ πολέμιοι τυγχάνουσιν ἐξαμαρτάνοντες.

61 y que mantenemos las leyes y costumbres que establecimos desde el principio. Vemos, en cambio, que nuestros contrarios no son capaces de mantener su buena suerte, sino que andan desconcertados, apoderándose unos de las ciudades aliadas suyas, haciendo otros lo contrario, otros discutiendo con sus vecinos sobre las tierras, y algunos con más odio entre sí que ganas de luchar contra nosotros. Por eso me asombra que busquemos una alianza mayor que los propios errores enemigos[42].

[62] εἰ δὲ δεῖ καὶ περὶ τῶν ἔξωθεν βοηθειῶν εἰπεῖν, ἡγοῦμαι πολλοὺς ἔσεσθαι τοὺς βουλομένους ἐπαμύνειν ἡμῖν. ἐπίσταμαι γὰρ πρῶτον μὲν Ἀθηναίους, εἰ καὶ μὴ πάντα μεθ᾽ ἡμῶν εἰσιν, ἀλλ᾽ ὑπέρ γε τῆς σωτηρίας τῆς ἡμετέρας ὁτιοῦν ἂν ποιήσοντας: ἔπειτα τῶν ἄλλων πόλεων ἔστιν ἃς ὁμοίως ἂν ὑπὲρ τῶν ἡμῖν συμφερόντων ὥσπερ τῶν αὑταῖς βουλευσομένας:

62 Pero si hay que hablar de una ayuda exterior, creo que serán muchos los que quieran socorrernos. Pues sé en primer lugar, que los atenienses, aunque no estén totalmente a nuestro lado, sí harán algo por nuestra salvación[43]. Hay además otras ciudades que decidirán en provecho de nuestros intereses como lo harían sobre los suyos propios.

[63] ἔτι δὲ Διονύσιον τὸν τύραννον καὶ τὸν Αἰγυπτίων βασιλέα καὶ τοὺς ἄλλους τοὺς κατὰ τὴν Ἀσίαν δυνάστας, καθ᾽ ὅσον ἕκαστοι δύνανται, προθύμως ἂν ἡμῖν ἐπικουρήσοντας: πρὸς δὲ τούτοις καὶ τῶν Ἑλλήνων τοὺς ταῖς οὐσίαις προέχοντας καὶ ταῖς δόξαις πρωτεύοντας καὶ βελτίστων πραγμάτων ἐπιθυμοῦντας, εἰ καὶ μήπω συνεστήκασιν,

63 También Dionisio el tirano[44], el rey de Egipto[45] y otros monarcas asiáticos[46], según cada uno pueda, nos socorrerán con entusiasmo. Aparte de éstos, los griegos sobresalientes en riquezas, destacados por su renombre y deseosos de gloria, aunque todavía no estén con nosotros, nos tienen simpatía y es natural que en ellos pongamos grandes esperanzas para el futuro.

---

[42] Todas estas enemistades y disturbios en el seno de la confederación tebana pueden referirse a distintos pueblos. Así conflictos entre arcadios y aqueos, luchas en Elide entre demócratas y oligarcas (JENOF., *Hel*. VII 4, 33 ss.). Discusiones sobre fronteras las tenían los atenienses y tebanos a propósito de la ciudad de Oropo, y también eleatas y arcadios.

[43] Los atenienses habían actuado de mediadores entre Esparta y Arcadia y habían defendido a Eufrón de Sición contra Tebas (JENOF., *Hel* VII 4, 13).

[44] Se refiere a Dionisio el Joven, que empezó a reinar el año 367 a. C.

[45] El rey de Egipto, Nectanebo (378-364) tenía interés en ayudar a Esparta, ya que Tebas contaba con protección persa (JENOF., *Agesilao* II 27).

[46] Acaso Mausolo, de Caria, que se sublevó contra Persia el año 362 a. C.

ἀλλὰ ταῖς γ᾽ εὐνοίαις μεθ᾽ ἡμῶν ὄντας, ἐν οἷς περὶ τῶν μελλόντων εἰκότως ἂν μεγάλας ἐλπίδας ἔχοιμεν.

[64] οἶμαι δὲ καὶ τὸν ἄλλον ὄχλον τὸν ἐν Πελοποννήσῳ καὶ τὸν δῆμον, ὃν οἰόμεθα μάλιστα πολεμεῖν ἡμῖν, ποθεῖν ἤδη τὴν ἡμετέραν ἐπιμέλειαν. οὐδὲν γὰρ αὐτοῖς ἀποστᾶσι γέγονεν ὧν προσεδόκησαν, ἀλλ᾽ ἀντὶ μὲν τῆς ἐλευθερίας τοὐναντίον ἀποβέβηκεν (ἀπολέσαντες γὰρ αὑτῶν τοὺς βελτίστους ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν), ἀντὶ δὲ τῆς αὐτονομίας εἰς πολλὰς καὶ δεινὰς ἀνομίας ἐμπεπτώκασιν,

64 Creo también que el restante pueblo peloponesio, incluso el democrático, el más hostil a nosotros, según pensamos, añora ya nuestro gobierno. Pues, al separarse de nosotros, no obtuvieron nada de lo que esperaban, sino que en lugar de libertad les vino lo contrario. Murieron los mejores de ellos a manos de los peores ciudadanos y en vez de autonomía cayeron en las más numerosas y peores ilegalidades.

[65] εἰθισμένοι δὲ τὸν ἄλλον χρόνον μεθ᾽ ἡμῶν ἐφ᾽ ἑτέρους ἰέναι, νῦν τοὺς ἄλλους ὁρῶσιν ἐφ᾽ αὑτοὺς στρατευομένους, καὶ τὰς στάσεις, ἃς ἐπυνθάνοντο πρότερον παρ᾽ ἑτέροις οὔσας, νῦν παρ᾽ αὑτοῖς ὀλίγου δεῖν καθ᾽ ἑκάστην τὴν ἡμέραν γιγνομένας, οὕτω δ᾽ ὡμαλισμένοι ταῖς συμφοραῖς εἰσιν, ὥστε μηδένα διαγνῶναι δύνασθαι τοὺς κάκιστα πράττοντας αὐτῶν: οὐδεμία γάρ ἐστι τῶν πόλεων ἀκέραιος,

65 Acostumbrados en otro tiempo a marchar a nuestro lado contra ajenos, ven ahora que otros hacen expediciones contra ellos y las revueltas civiles que antes sabían que se producían en otras ciudades, ahora en cambio les falta poco para tenerlas ellos a diario. Tan igualados están por las desgracias que nadie podría distinguir quiénes de ellos son los que están en peor situación.

[66] οὐδ᾽ ἥ τις οὐχ ὁμόρους ἔχει τοὺς κακῶς ποιήσοντας, ὥστε τετμῆσθαι μὲν τὰς χώρας, πεπορθῆσθαι δὲ τὰς πόλεις, ἀναστάτους δὲ γεγενῆσθαι τοὺς οἴκους τοὺς ἰδίους, ἀνεστράφθαι δὲ τὰς πολιτείας καὶ καταλελύσθαι τοὺς νόμους, μεθ᾽ ὧν οἰκοῦντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν.

66 No hay, en efecto, ninguna ciudad libre, ni que no tenga a enemigos por vecinos. Así las tierras están arruinadas, arrasadas las ciudades, destruidas las casas privadas, derribadas las constituciones y abolidas las leyes bajo cuyo gobierno eran los más felices de los griegos.

[67] οὕτω δ᾽ ἀπίστως τὰ πρὸς σφᾶς αὐτοὺς καὶ δυσμενῶς ἔχουσιν, ὥστε μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δεδίασιν: ἀντὶ δὲ τῆς ἐφ᾽ ἡμῶν ὁμονοίας καὶ τῆς παρ᾽ ἀλλήλων εὐπορίας εἰς τοσαύτην ἀμιξίαν ἐληλύθασιν, ὥσθ᾽ οἱ μὲν κεκτημένοι τὰς οὐσίας ἥδιον ἂν εἰς τὴν θάλατταν τὰ σφέτερ᾽ αὐτῶν ἐκβάλοιεν ἢ τοῖς δεομένοις ἐπαρκέσειαν, οἱ δὲ καταδεέστερον πράττοντες οὐδ᾽ ἂν εὑρεῖν δέξαιντο μᾶλλον ἢ τὰ τῶν ἐχόντων ἀφελέσθαι:

67 Es tal su mutua desconfianza y odio, que temen más a sus conciudadanos que a los enemigos.

En lugar de la concordia que tenían bajo nuestro gobierno y de su mutuo bienestar, han llegado a tal insociabilidad que los ricos con más gusto tirarían al mar sus propiedades antes que ayudar a los necesitados, y los pobres preferirían arrancar esas riquezas a sus propietarios mejor que encontrárselas.

[68] καταλύσαντες δὲ τὰς θυσίας ἐπὶ τῶν βωμῶν σφάττουσιν ἀλλήλους: πλείους δὲ φεύγουσι νῦν ἐκ μιᾶς πόλεως ἢ πρότερον ἐξ ἁπάσης τῆς Πελοποννήσου. καὶ τοσούτων ἀπηριθμημένων κακῶν, πολὺ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστίν: οὐδὲν γὰρ ὅ τι τῶν δεινῶν ἢ χαλεπῶν οὐκ ἐνταῦθα συνδεδράμηκεν.

68 Abolieron los sacrificios y se degüellan unos a otros sobre los altares[47]. Ahora son más los que huyen de una sola ciudad que cuantos antes lo hacían de todo el Peloponeso. Y aunque son tantos los males enumerados, son muchos más los que quedan por decir. No hay maldad ni dificultad que no haya coincidido allí.

[69] ὧν οἱ μὲν ἤδη μεστοὶ τυγχάνουσιν ὄντες, οἱ δὲ διὰ ταχέων ἐμπλησθήσονται, καὶ ζητήσουσί τινα τῶν παρόντων πραγμάτων εὑρεῖν ἀπαλλαγήν. μὴ γὰρ οἴεσθ᾽ αὐτοὺς μενεῖν ἐπὶ τούτοις: οἵτινες γὰρ εὖ πράττοντες ἀπεῖπον, πῶς ἂν οὗτοι κακοπαθοῦντες πολὺν χρόνον καρτερήσειαν; ὥστ᾽ οὐ μόνον ἢν μαχόμενοι νικήσωμεν, ἀλλ᾽ ἐὰν ἡσυχίαν ἔχοντες περιμείνωμεν, ὄψεσθ᾽ αὐτοὺς μεταβαλλομένους μένους καὶ τὴν ἡμετέραν συμμαχίαν σωτηρίαν αὑτῶν εἶναι νομίζοντας. τὰς μὲν οὖν ἐλπίδας ἔχω τοιαύτας.

69 Hay quienes ya están abrumados, otros lo estarán en poco tiempo, y buscarán encontrar algún escape a su actual situación. Pues no creáis que se aguantarán en ella. Pues ¿cómo soportarán largo tiempo el sufrir quienes se cansaron de vivir bien? Por eso no sólo si vencemos en el combate, sino aunque nos quedáramos tranquilos, veréis que ellos cambian de bando, por pensar que la alianza con nosotros es su propia salvación. Tales son las esperanzas que tengo.

[70] τοσοῦτον δ᾽ ἀπέχω τοῦ ποιῆσαί τι τῶν προστατtομένων, ὥστ᾽ εἰ μηδὲν γίγνοιτο τούτων μηδὲ βοηθείας μηδαμόθεν τυγχάνοιμεν, ἀλλὰ τῶν Ἑλλήνων οἱ μὲν ἀδικοῖεν ἡμᾶς οἱ δὲ περιορῷεν, οὐδ᾽ ἂν οὕτω μεταγνοίην, ἀλλὰ πάντας ἂν τοὺς ἐκ τοῦ πολέμου κινδύνους ὑπομείναιμι πρὶν ποιήσασθαι τὰς ὁμολογίας ταύτας. αἰσχυνθείην γὰρ ἂν ὑπὲρ ἀμφοτέρων, εἴτε καταγνοίημεν τῶν προγόνων ὡς ἀδίκως Μεσσηνίους ἀφείλοντο τὴν χώραν, εἴτ᾽ ἐκείνων ὀρθῶς κτησαμένων καὶ προσηκόντως ἡμεῖς παρὰ τὸ δίκαιον συγχωρήσαιμέν τι περὶ αὐτῆς.

70 Tan lejos estoy de aceptar alguna de las órdenes, que aunque no ocurriera ninguna de estas cosas ni recibiéramos ayuda alguna, sino que unos griegos nos injuriaran y otros nos despreciasen, ni aun así cambiaría de parecer. Por el contrario, arrostraría todos los peligros derivados de la guerra antes que cumplir estos acuerdos. Pues me avergonzarían estas dos cosas; que reprocháramos a los antepasados como si hubieran arrebatado a los mesenios su tierra injustamente o que, aunque se admitiera que la adquirieron con corrección y conveniencia, nosotros abandonáramos ni siquiera una parte de ella, contra justicia.

[71] τούτων μὲν οὖν οὐδέτερον ποιητέον, σκεπτέον δ᾽ ὅπως ἀξίως ἡμῶν αὐτῶν πολεμήσομεν, καὶ μὴ τοὺς εἰθισμένους ἐγκωμιάζειν τὴν πόλιν ἐλέγξομεν ψευδεῖς ὄντας, ἀλλὰ τοιούτους ἡμᾶς αὐτοὺς παρασχήσομεν, ὥστε δοκεῖν ἐκείνους ἐλάττω τῶν ὑπαρχόντων εἰρηκέναι περὶ ἡμῶν.

71 Nada de esto debe hacerse, sino examinar cómo lucharemos de acuerdo con nuestra propia dignidad y demostraremos que no mienten quienes acostumbran a elogiar a la ciudad. Antes bien, procuraremos dar la impresión de que nuestros panegiristas hablan sobre nosotros en términos inferiores a lo que nos corresponde.

---

[47] Se puede hacer alusión a la masacre de Corinto (cf. JENOF., *Hel*. IV 4, 3), al asesinato de unos suplicantes aqueos refugiados en el templo de Poseidón (PAUS., VII 25) o a los sucesos de Argos del año 371 a. C. (DIOD., XV 58).

[72] οἶμαι μὲν οὖν οὐδὲν συμβήσεσθαι δεινότερον τῶν νῦν παρόντων, ἀλλὰ τοὺς ἐχθροὺς τοιαῦτα βουλεύσεσθαι καὶ πράξειν, ἐξ ὧν ἐπανορθώσουσιν ἡμᾶς: ἂν δ᾽ ἄρα ψευσθῶμεν τῶν ἐλπίδων καὶ πανταχόθεν ἐξειργώμεθα καὶ μηδὲ τὴν πόλιν ἔτι δυνώμεθα διαφυλάττειν, χαλεπὰ μέν ἐστιν ἃ μέλλω λέγειν, ὅμως δ᾽ οὐκ ὀκνήσω παρρησιάσασθαι περὶ αὐτῶν. καὶ γὰρ ἐξαγγελθῆναι τοῖς Ἕλλησι καλλίω ταῦτ᾽ ἐστί, καὶ μᾶλλον ἁρμόττοντα τοῖς ἡμετέροις φρονήμασιν, ὧν ἔνιοί τινες ἡμῖν συμβουλεύουσιν.

72 Creo que no nos ocurrirá nada peor que la situación presente, sino que la manera de deliberar y actuar de los enemigos será la que nos ayude a restablecernos. Pero si nos engañamos en nuestras esperanzas, si nos atacan por todas partes y ni siquiera podemos defender la ciudad, es duro lo que voy a decir, pero no vacilaré en hablar con franqueza. Pues que los griegos conozcan mis palabras es más hermoso y más acorde con nuestra manera de pensar que los consejos que algunos os dan.

[73] φημὶ γὰρ χρῆναι τοὺς μὲν γονέας τοὺς ἡμετέρους αὐτῶν καὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ τὸν ὄχλον τὸν ἄλλον ἐκ τῆς πόλεως ἐκπέμψαι, τοὺς μὲν εἰς Σικελίαν, τοὺς δ᾽ εἰς Κυρήνην, τοὺς δ᾽ εἰς τὴν ἤπειρον（ἄσμενοι δ᾽ αὐτοὺς ἅπαντες οὗτοι δέξονται καὶ χώρᾳ πολλῇ καὶ ταῖς ἄλλαις ταῖς περὶ τὸν βίον εὐπορίαις, οἱ μὲν χάριν ἀποδιδόντες ὧν εὖ πεπόνθασιν, οἱ δὲ κομιεῖσθαι προσδοκῶντες ὧν ἂν προϋπάρξωσιν）,

73 Afirmo[48] que es preciso enviar fuera de la ciudad a nuestros padres, hijos, mujeres y a todo el pueblo, unos hacia Sicilia, otros a Cirene, otros al continente[49] —todos los acogerán con alegría y les proporcionarán mucha tierra y los demás recursos necesarios para la vida, en parte por agradecimiento por los beneficios que recibieron, en parte esperando granjearse nuestra amistad con su iniciativa—.

[74] ὑπολειφθέντας δὲ τοὺς βουλομένους καὶ δυναμένους κινδυνεύειν τῆς μὲν πόλεως ἀφεῖσθαι καὶ τῶν ἄλλων κτημάτων, πλὴν ὅσα ἂν οἷοί τ᾽ ὦμεν ἀπενέγκασθαι μεθ᾽ ἡμῶν αὐτῶν, καταλαβόντας δὲ χωρίον, ὅ τι ἂν ἐχυρώτατον ᾖ καὶ πρὸς τὸν πόλεμον συμφορώτατον, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἕως ἂν παύσωνται τῶν ἡμετέρων ἀμφισβητοῦντες.

74 Recogidos los hombres que quieran y puedan correr riesgos por la ciudad, saldremos de la ciudad sin otros bienes que cuantos podamos llevar con nosotros, tomaremos el territorio más seguro y conveniente para la guerra y devastaremos a los enemigos por tierra y mar hasta que desistan de discutirnos lo nuestro.

[75] καὶ ταῦτ᾽ ἐὰν τολμήσωμεν καὶ μὴ κατοκνήσωμεν, ὄψεσθε τοὺς νῦν ἐπιτάττοντας ἱκετεύοντας καὶ δεομένους ἡμῶν Μεσσήνην ἀπολαβεῖν καὶ ποιήσασθαι τὴν εἰρήνην.
ποία γὰρ ἂν τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ τοιοῦτον πόλεμον ὑπομείνειεν, οἷον εἰκὸς γενέσθαι βουληθέντων ἡμῶν; τίνες δ᾽ οὐκ ἂν ἐκπλαγεῖεν καὶ δείσαιεν στρατόπεδον συνιστάμενον τοιαῦτα μὲν διαπεπραγμένον,

75 Si nos atrevemos a esto y no nos echamos atrás, veréis que quienes ahora nos mandan vienen a suplicamos y a pedirnos que recobremos Mesenia y hagamos la paz.
¿Qué ciudad peloponesia resistiría una guerra como la que podríamos hacer si quisiéramos? ¿Quién no se asustaría y temería a un ejército firme que ha ejecutado cosas así, que está indignado justamente con los adversarios responsables de

[48] Un plan parecido al que aquí expone Arquidamo se había ya pensado con anterioridad en Esparta (cf. TUC., I 81).
[49] Sicilia tenía amistad con Esparta a través del tirano Dionisio el Joven, Cirene era antigua colonia espartana y el continente puede ser Asia Menor, lo más probable, o el Sur de Italia, la Magna Grecia.

δικαίως δὲ τοῖς αἰτίοις τούτων ὠργισμένον, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακείμενον,

estos hechos, y en una situación desesperada respecto a la vida?

[76] καὶ τῷ μὲν σχολὴν ἄγειν καὶ μηδὲ περὶ ἓν ἄλλο διατρίβειν ἢ περὶ τὸν πόλεμον τοῖς ξενικοῖς στρατεύμασιν ὡμοιωμένον, ταῖς δ᾽ ἀρεταῖς καὶ τοῖς ἐπιτηδεύμασι τοιοῦτον οἷον ἐξ ἁπάντων ἀνθρώπων οὐδεὶς ἂν συντάξειεν, ἔτι δὲ μηδεμιᾷ πολιτείᾳ τεταγμένῃ χρώμενον, ἀλλὰ θυραυλεῖν καὶ πλανᾶσθαι κατὰ τὴν χώραν δυνάμενον καὶ ῥᾳδίως μὲν ὅμορον οἷς ἂν βούληται γιγνόμενον, τοὺς δὲ τόπους ἅπαντας τοὺς πρὸς τὸν πόλεμον συμφέροντας πατρίδας εἶναι νομίζον;

76 Un ejército que por su dedicación y por no gastar el tiempo en otra cosa que en la guerra se parece a un cuerpo de tropas mercenarias[50], pero tan notable por sus virtudes y hábitos que ningún hombre podría formar uno igual. Además no es utilizado por ningún estado establecido, sino que puede vivir al aire y andar por el territorio y acercarse con facilidad a los que quiera, y que además considera patria todos los lugares convenientes para la guerra.

[77] ἐγὼ μὲν γὰρ οἶμαι τῶν λόγων μόνον ῥηθέντων τούτων καὶ διασπαρέντων εἰς τοὺς Ἕλληνας εἰς πολλὴν ταραχὴν καταστήσεσθαι τοὺς ἐχθροὺς ἡμῶν, ἔτι δὲ μᾶλλον, ἢν καὶ τέλος ἐπιθεῖναι τούτοις ἀναγκασθῶμεν. τίνα γὰρ οἰηθῶμεν αὐτοὺς γνώμην ἕξειν, ὅταν αὐτοὶ μὲν κακῶς πάσχωσιν, ἡμᾶς δὲ μηδὲν δύνωνται ποιεῖν;

77 Yo creo que con sólo decir estas palabras y extenderlas entre los griegos, nuestros enemigos caerán en enorme confusión, y más aún si nos vemos obligados a llevarlas a cabo. ¿Qué opinión creemos que tendrán, cuando lo pasen mal y no nos puedan hacer nada?

[78] καὶ τὰς μὲν αὑτῶν πόλεις ἴδωσιν εἰς πολιορκίαν καθεστηκυίας, τὴν δ᾽ ἡμετέραν οὕτω διεσκευασμένην ὥστε μηκέτι τῇ συμφορᾷ ταύτῃ περιπεσεῖν; ἔτι δὲ τὴν τῶν σωμάτων τροφὴν ἡμῖν μὲν ῥᾳδίαν οὖσαν ἔκ τε τῶν ὑπαρχόντων καὶ τῶν ἐκ τοῦ πολέμου γιγνομένων, αὑτοῖς δὲ χαλεπὴν διὰ τὸ μὴ ταὐτὸν εἶναι στρατόπεδόν τε τοιοῦτον διοικεῖν καὶ τοὺς ὄχλους τοὺς ἐν ταῖς πόλεσι διατρέφειν;

78 ¿Qué pensarán al ver sus ciudades sometidas a asedio y la nuestra, en cambio, organizada de tal manera que nunca caerá en semejante desgracia? ¿Y cuando, además, vean que nos es fácil alimentar nuestros cuerpos con lo que tenemos y lo que nos resulte de la guerra, y difícil para ellos a causa de que no es lo mismo administrar un ejército que mantener las poblaciones de las ciudades?

[79] ὃ δὲ πάντων ἄλγιστον ἐκείνοις, ὅταν τοὺς μὲν ἡμετέρους οἰκείους ἐν πολλαῖς εὐπορίαις πυνθάνωνται γεγενημένους, τοὺς δ᾽ αὑτῶν ὁρῶσιν καθ᾽ ἑκάστην τὴν ἡμέραν τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας, καὶ μηδ᾽ ἐπικουρῆσαι δύνωνται τοῖς κακοῖς τούτοις, ἀλλ᾽ ἐργαζόμενοι μὲν τὴν χώραν τὰ σπέρματα προσαπολλύωσιν, ἀργὸν δὲ περιορῶντες μηδένα χρόνον ἀνταρκεῖν οἷοί τ᾽ ὦσιν.

79 Lo más doloroso de todo para ellos será cuando sepan que nuestros familiares se encuentran en la mayor abundancia y vean que los suyos carecen de lo necesario para el sustento cotidiano, y no puedan auxiliarlos en estos males, sino que pierdan las semillas al trabajar la tierra y si la dejan sin cultivar no sean capaces de resistir tiempo alguno.

[50] En el siglo IV a. C. se prefieren las tropas mercenarias por su movilidad.

[80] ἀλλὰ γὰρ ἴσως ἀθροισθέντες καὶ κοινὸν ποιησάμενοι στρατόπεδον παρακολουθήσουσι, καὶ κωλύσουσιν ἡμᾶς κακῶς ποιεῖν αὐτούς. καὶ τί ἂν εὐξαίμεθα μᾶλλον ἢ λαβεῖν πλησιάζοντας καὶ παρατεταγμένους καὶ περὶ τὰς αὐτὰς δυσχωρίας ἡμῖν ἀντιστρατοπεδεύοντας ἀνθρώπους ἀτάκτους καὶ μιγάδας καὶ πολλοῖς ἄρχουσι χρωμένους; οὐδὲν γὰρ ἂν πολλῆς πραγματείας δεήσειεν, ἀλλὰ ταχέως ἂν αὐτοὺς ἐξαναγκάσαιμεν ἐν τοῖς ἡμετέροις καιροῖς ἀλλὰ μὴ τοῖς αὑτῶν ποιήσασθαι τοὺς κινδύνους.

80 Pero, quizá, agrupándose y formando un ejército común nos seguirán de cerca e impedirán que les hagamos daño. ¿Qué desearíamos más que encontrar cerca, en orden de batalla, acampados frente a nosotros en el mismo terreno difícil, a unos hombres indisciplinados, mezclados unos con otros y que necesitan muchos jefes?[51]. No habría necesidad de mucho esfuerzo, sino que con rapidez les obligaríamos a combatir en el momento favorable para nosotros, mas no para ellos.

[81] ἐπιλίποι δ᾽ ἂν τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ τὰς πλεονεξίας τὰς ἐσομένας λέγειν ἐπιχειρήσαιμεν. ἐκεῖνο δ᾽ οὖν πᾶσι φανερόν, ὅτι τῶν Ἑλλήνων διενηνόχαμεν οὐ τῷ μεγέθει τῆς πόλεως οὐδὲ τῷ πλήθει τῶν ἀνθρώπων, ἀλλ᾽ ὅτι τὴν πολιτείαν ὁμοίαν κατεστησάμεθα στρατοπέδῳ καλῶς διοικουμένῳ καὶ πειθαρχεῖν ἐθέλοντι τοῖς ἄρχουσιν. ἢν οὖν εἰλικρινὲς τοῦτο ποιήσωμεν, ὃ μιμησαμένοις ἡμῖν συνήνεγκεν, οὐκ ἄδηλον ὅτι ῥᾳδίως τῶν πολεμίων ἐπικρατήσομεν.

81 No bastaría lo que falta de día si intentáramos contar las ventajas que se derivarán. Pero para todos es evidente esto, que hemos aventajado a los demás griegos no por el tamaño de nuestra ciudad ni por el gran número de habitantes[52], sino porque establecimos un régimen político semejante a un ejército bien organizado[53] y que quiere obedecer a sus jefes. Si esto nos distinguió cuando sólo era una imitación, es indudable que si la identidad de nuestro régimen con un ejército fuera total, con facilidad venceríamos a los enemigos.

[82] ἴσμεν δὲ καὶ τοὺς οἰκιστὰς ταυτησὶ τῆς πόλεως γενομένους, ὅτι μικρὸν μὲν στρατόπεδον εἰς τὴν Πελοπόννησον εἰσῆλθον ἔχοντες, πολλῶν δὲ καὶ μεγάλων πόλεων ἐκράτησαν. καλὸν οὖν μιμήσασθαι τοὺς προγόνους, καὶ πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανελθόντας, ἐπειδὴ προσεπταίκαμεν, πειραθῆναι τὰς τιμὰς καὶ τὰς δυναστείας ἀναλαβεῖν, ἃς πρότερον ἐτυγχάνομεν ἔχοντες.

82 Sabemos que los fundadores de esta ciudad tenían un ejército pequeño cuando llegaron al Peloponeso, pero que se impusieron a muchas y grandes ciudades. Es hermoso imitar a los antepasados y volver de nuevo a los orígenes, y, puesto que sufrimos un descalabro, intentar recuperar los honores y poderes que tuvimos antes.

[83] πάντων δ᾽ ἂν δεινότατον ποιήσαιμεν, εἰ συνειδότες Ἀθηναίοις ἐκλιποῦσι τὴν αὑτῶν χώραν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἡμεῖς μηδ᾽ ὑπὲρ τῆς ἡμετέρας αὐτῶν σωτηρίας ἀφέσθαι τῆς πόλεως τολμήσαιμεν, ἀλλὰ δέον

83 Nos portaríamos de la peor manera si, después de saber que los atenienses abandonaron su tierra por defender la libertad de otros[54], nosotros no nos atreviésemos a abandonar la ciudad por nuestra propia salvación, sino que debiendo ofrecernos a

[51] Compárese lo que dice aquí Arquidamo de otros griegos con lo que se dice de los persas en *Panegírico* 150.
[52] Esparta tenía unos 10 kilómetros de circunferencia y unos 10.000 ciudadanos.
[53] Cf. JENOF., *La república de los lacedemonios*, donde se nos dan detalles de esa vida militar que impregna las costumbres espartanas.
[54] Referencia a las guerras médicas.

ἡμᾶς παράδειγμα τῶν τοιούτων ἔργων τοῖς ἄλλοις παρέχειν, μηδὲ μιμήσασθαι τὰς ἐκείνων πράξεις ἐθελήσαιμεν.

otros como ejemplo de tales empresas, ni siquiera quisiéramos imitar las acciones que aquéllos realizaron.

[84] ἔτι δὲ τούτου καταγελαστότερον, εἰ Φωκαεῖς μὲν φεύγοντες τὴν βασιλέως τοῦ μεγάλου δεσποτείαν, ἐκλιπόντες τὴν Ἀσίαν εἰς Μασσαλίαν ἀπῴκησαν, ἡμεῖς δ᾽ εἰς τοσοῦτον μικροψυχίας ἔλθοιμεν ὥστε τὰ προστάγματα τούτων ὑπομεῖναι, ὧν ἄρχοντες ἅπαντα τὸν χρόνον διετελέσαμεν.

84 Más ridículo aún que esto sería que, si los focenses por huir de la soberanía del Gran Rey abandonaron Asia y se asentaron en Marsella[55], nosotros, en cambio, fuéramos tan pusilánimes que obedeciéramos las órdenes de aquellos que nos han estado sometidos siempre.

[85] χρὴ δὲ μὴ περὶ τὴν ἡμέραν ταύτην ταῖς ψυχαῖς διατρίβειν, ἐν ᾗ δεήσει χωρίζειν τοὺς οἰκειοτάτους ἀφ᾽ ἡμῶν αὐτῶν, ἀλλ᾽ ἐπ᾽ ἐκείνους τοὺς χρόνους ἀφορᾶν, ἐν οἷς περιγενόμενοι τῶν ἐχθρῶν ἀνορθώσομεν μὲν τὴν πόλιν, κομιούμεθα δὲ τοὺς ἡμετέρους αὐτῶν, ἐπιδειξόμεθα δὲ πᾶσιν ὅτι νῦν μὲν ἀδίκως δεδυστυχήκαμεν, τὸν δὲ παρελθόντα χρόνον δικαίως τῶν ἄλλων πλέον ἔχειν ἠξιοῦμεν.

85 No hay que entretener nuestro espíritu en el día en que deberemos separarnos de nuestros más íntimos, sino dirigir la vista a ese momento próximo en el que, después de vencer a los enemigos, restauraremos la ciudad, traeremos a los nuestros y mostraremos a todos que nuestra mala situación actual es injusta, y que en el tiempo pasado fuimos dignos de poseer más que otros con pleno derecho.

[86] ἔχει δ᾽ οὕτως: ἐγὼ τούτους εἴρηκα τοὺς λόγους, οὐχ ὡς δέον ἡμᾶς ἤδη ταῦτα πράττειν, οὐδ᾽ ὡς οὐδεμιᾶς ἄλλης ἐνούσης ἐν τοῖς πράγμασι σωτηρίας, ἀλλὰ βουλόμενος ὑμῶν προτρέψασθαι τὰς γνώμας, ὡς καὶ ταύτας τὰς συμφορὰς καὶ πολὺ δεινοτέρας τούτων ὑπομενετέον ἡμῖν, πρὶν ὑπὲρ Μεσσήνης ποιήσασθαι συνθήκας οἵας κελεύουσιν ἡμᾶς.

86 Así están las cosas. Yo he dicho estas palabras no porque tengáis que realizar esto ya, ni porque no exista otra posibilidad de salvación en nuestras circunstancias, sino porque quería cambiar vuestra manera de pensar en el sentido de que debemos soportar estas calamidades y otras aún peores antes que firmar sobre Mesenia los tratados que nos ordenan.

[87] οὐχ οὕτω δ᾽ ἂν προθύμως ἐπὶ τὸν πόλεμον ὑμᾶς παρεκάλουν, εἰ μὴ τὴν εἰρήνην ἑώρων ἐξ ὧν μὲν ἐγὼ λέγω καλὴν καὶ βεβαίαν γενησομένην, ἐξ ὧν δ᾽ ἔνιοί τινες συμβουλεύουσιν, οὐ μόνον αἰσχρὰν ἐσομένην, ἀλλ᾽ οὐδὲ χρόνον οὐδένα παραμενοῦσαν. ἣν γὰρ παρακατοικισώμεθα τοὺς Εἵλωτας καὶ τὴν πόλιν ταύτην περιίδωμεν αὐξηθεῖσαν, τίς οὐκ οἶδεν ὅτι πάντα τὸν βίον ἐν ταραχαῖς καὶ κινδύνοις διατελοῦμεν ὄντες; ὥσθ᾽ οἱ περὶ

87 No os animaría a la guerra con tamo entusiasmo si no viera que la paz que resulte como consecuencia de lo que digo será hermosa y firme, mientras que a partir de lo que algunos aconsejan resultaría una paz no sólo vergonzosa, sino ni siquiera duradera. Porque si asentamos a los hilotas cerca de nosotros y vemos con indiferencia crecer a esta ciudad[56], ¿quién ignora que pasaremos toda nuestra vida entre inquietudes y peligros? Por eso, los que hablan de seguridad

[55] Los focenses abandonaron Asia Menor hacia el año 545 a. C. (HERÓD., I 65 ss.) y se establecieron en Córcega. Después, por presión cartaginesa fueron unos a Elea y otros a Marsella (PAUS., X 8, 4).

[56] Ya se ha dicho en la nota 25 que en el año 369 a. C. Mesenia era de hecho, independiente. Arquidamo engloba con el nombre de ilotas no sólo a éstos, sino también a los antiguos pobladores de Mesenia dispersos por toda Grecia. Sabemos que un número importante de mesenios se refugió en Sicilia, donde dieron su nombre a Mesina.

ἀσφαλείας διαλεγόμενοι λελήθασιν αὑτοὺς τὴν μὲν εἰρήνην ὀλίγας ἡμέρας ἡμῖν ποιοῦντες, τὸν δὲ πόλεμον εἰς ἅπαντα τὸν χρόνον κατασκευάζοντες.

olvidan que nos hacen una paz de pocos días de duración, y nos preparan, en cambio, la guerra para toda la vida.

[88] ἡδέως δ᾽ ἂν αὐτῶν πυθοίμην, ὑπὲρ τίνων οἴονται χρῆναι μαχομένους ἡμᾶς ἀποθνήσκειν: οὐχ ὅταν οἱ πολέμιοι προστάττωσί τι παρὰ τὸ δίκαιον καὶ τῆς χώρας ἀποτέμνωνται καὶ τοὺς οἰκέτας ἐλευθερῶσι; καὶ τούτους μὲν κατοικίζωσιν εἰς ταύτην ἣν ἡμῖν οἱ πατέρες κατέλιπον, ἡμᾶς δὲ μὴ μόνον τῶν ὄντων ἀποστερῶσιν, ἀλλὰ καὶ πρὸς τοῖς ἄλλοις κακοῖς εἰς ὀνείδη καθιστῶσιν;

88 Con gusto les preguntaría por qué motivos piensan que deberíamos morir luchando. ¿No es suficiente que los enemigos nos ordenen algo contra justicia, nos dividan el territorio, liberen a nuestros súbditos, hagan que éstos residan en el lugar que nos dejaron nuestros padres, y no sólo nos priven de nuestros bienes, sino que, además de otros males, nos impongan el deshonor?

[89] ἐγὼ μὲν γὰρ ὑπὲρ τούτων οὐ μόνον πόλεμον ἀλλὰ καὶ φυγὰς καὶ θανάτους οἴομαι προσήκειν ἡμῖν ὑπομένειν: πολὺ γὰρ κρεῖττον ἐν ταῖς δόξαις αἷς ἔχομεν τελευτῆσαι τὸν βίον μᾶλλον ἢ ζῆν ἐν ταῖς ἀτιμίαις, ἃς ληψόμεθα ποιήσαντες ἃ προστάττουσιν ἡμῖν. εἰ δὲ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν, αἱρετώτερον ἡμῖν ἐστιν ἀναστάτοις γενέσθαι μᾶλλον ἢ καταγελάστοις ὑπὸ τῶν ἐχθρῶν. τοὺς γὰρ ἐν ἀξιώμασι καὶ φρονήμασι τηλικούτοις βεβιωκότας δυοῖν δεῖ θάτερον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν, ἢ παντάπασιν ἀνῃρῆσθαι, μηδὲν ταπεινὸν διαπραξαμένους ἀλλὰ καλὴν τὴν τελευτὴν τοῦ βίου ποιησαμένους.

89 Mi opinión es que nos conviene soportar, en defensa de esto, no sólo la guerra sino el destierro y la muerte. Para nuestra fama es mucho mejor morir que vivir en la deshonra que recibiremos si hacemos lo que nos mandan. Resumiendo, si hay que decirlo todo, es preferible para nosotros ser aniquilados, antes que ser objeto de risa para los enemigos. Porque para quienes han vivido en tal honor y orgullo debe haber estas dos posibilidades: o ser los primeros de los griegos o desaparecer completamente sin haber hecho ninguna acción miserable, sino procurándonos una hermosa muerte.

[90] ἃ χρὴ διαλογισαμένους μὴ φιλοψυχεῖν, μηδ᾽ ἐπακολουθεῖν ταῖς τῶν συμμάχων γνώμαις, ὧν ἡγεῖσθαι πρότερον ἠξιοῦμεν, ἀλλ᾽ αὐτοὺς σκεψαμένους ἑλέσθαι μὴ τὸ τούτοις ῥᾷστον, ἀλλ᾽ ὃ πρέπον ἔσται τῇ Λακεδαίμονι καὶ τοῖς πεπραγμένοις ἡμῖν.

90 Es preciso que reflexionemos sobre estas cosas sin tener excesivo apego a la vida, sin dejarnos llevar por las opiniones de los aliados, que antes pensábamos dignas de seguirse, sino que juzgando por nosotros mismos elijamos no lo que es más cómodo para éstos, sino lo que resultará apropiado para Lacedemonia y para nuestras hazañas anteriores.

περὶ γὰρ τῶν αὐτῶν οὐχ ὁμοίως ἅπασι βουλευτέον, ἀλλ᾽ ὡς ἂν ἐξ ἀρχῆς ἕκαστοι τοῦ βίου ποιήσωνται τὴν ὑπόθεσιν.

Pues sobre un mismo asunto no deben deliberar todos de una misma manera, sino según cada uno haya fundado su vida desde el principio.

[91] Ἐπιδαυρίοις μὲν γὰρ καὶ Κορινθίοις καὶ Φλιασίοις οὐδεὶς ἂν ἐπιπλήξειεν, εἰ μηδενὸς ἄλλου φροντίζοιεν ἢ τοῦ διαγενέσθαι καὶ

91 Nadie increparía a los epidaurios, a los corintios y a los fliasios[57] porque no pensaron en otra cosa sino en vivir y salvarse a sí mismos. Pero a los

[57] Los tres, aliados de Esparta que habían firmado con Tebas la paz.

περιποιῆσαι σφᾶς αὐτούς: Λακεδαιμονίους δ᾽ οὐχ οἷόν τ᾽ ἐστὶν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ἀλλ᾽ ἂν μὴ προσῇ τὸ καλῶς τῷ σώζεσθαι, τὸν θάνατον ἡμῖν μετ᾽ εὐδοξίας αἱρετέον ἐστί. τοῖς γὰρ ἀρετῆς ἀμφισβητοῦσιν ὑπὲρ οὐδενὸς οὕτω σπουδαστέον, ὡς ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν φανῆναι πράττοντας.

lacedemonios no les es posible buscar su salvación de cualquier manera, sino que si el salvarse no va unido al honor, es preferible para nosotros la muerte con honra. Pues los que discuten sobre la virtud no se deben aplicar a otra cosa que no sea mostrarse como gente que no hace nada indigno.

[92] εἰσὶ δ᾽ αἱ τῶν πόλεων κακίαι καταφανεῖς οὐχ ἧττον ἐν τοῖς τοιούτοις βουλεύμασιν ἢ τοῖς ἐν τῷ πολέμῳ κινδύνοις. τῶν μὲν γὰρ ἐκεῖ γιγνομένων τὸ πλεῖστον μέρος τῇ τύχῃ μέτεστι, τὸ δ᾽ ἐνθάδε γνωσθὲν αὐτῆς τῆς διανοίας σημεῖόν ἐστιν. ὥσθ᾽ ὁμοίως ἡμῖν φιλονικητέον ἐστὶν ὑπὲρ τῶν ἐνθάδε ψηφισθησομένων, ὥσπερ ὑπὲρ τῶν ἐν τοῖς ὅπλοις ἀγώνων.

92 La disposición viciosa de las ciudades se manifiesta, así, no menos en deliberaciones semejantes que en los riesgos de la guerra. Porque la mayoría de esos riesgos dependen de la suerte, pero lo que se determina aquí es señal del propio pensamiento. Por eso debemos buscar la victoria tanto en lo que votemos aquí como en los combates armados.

[93] θαυμάζω δὲ τῶν ὑπὲρ μὲν τῆς ἰδίας δόξης ἀποθνήσκειν ἐθελόντων, ὑπὲρ δὲ τῆς κοινῆς μὴ τὴν αὐτὴν γνώμην ἐχόντων: ὑπὲρ ἧς ὁτιοῦν πάσχειν ἄξιον, ὥστε μὴ καταισχῦναι τὴν πόλιν, μηδὲ περιιδεῖν τὴν τάξιν λιποῦσαν, εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. πολλῶν δὲ πραγμάτων ἡμῖν καὶ δεινῶν ἐφεστώτων, ἃ δεῖ διαφυγεῖν,

93 Me admiran quienes están dispuestos a morir por su fama particular, pero no lo están a hacerlo por la fama común. Por ésta es digno sufrir cualquier cosa para no avergonzar a la ciudad, ni permitir que se abandone el puesto en el que nos colocaron nuestros padres[58]. Presentándosenos muchas y graves acciones que debemos evitar,

[94] ἐκεῖνο μάλιστα φυλακτέον, ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα διαπραττόμενοι μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον. αἰσχρὸν γὰρ τοὺς ἄρξαι τῶν Ἑλλήνων ἀξιωθέντας ὀφθῆναι τὸ προσταττόμενον ποιοῦντας, καὶ τοσοῦτον ἀπολειφθῆναι τῶν προγόνων, ὥστε τοὺς μὲν ὑπὲρ τοῦ τοῖς ἄλλοις ἐπιτάττειν ἐθέλειν ἀποθνήσκειν, ἡμᾶς δ᾽ ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον μὴ τολμᾶν διακινδυνεύειν.

94 vigilemos sobre todo que no se nos vea cometer ninguna cobardía ni ceder ante los enemigos contra justicia. Porque sería una vergüenza que quienes se consideraron dignos de gobernar a los griegos[59] fueran vistos obedeciendo órdenes y tan alejados de los antepasados que mientras aquéllos querían morir por mandar a otros[60], nosotros, en cambio, no nos atreviéramos a correr riesgos para no cumplir lo mandado.

[95] ἄξιον δὲ καὶ τὴν Ὀλυμπιάδα καὶ τὰς ἄλλας αἰσχυνθῆναι πανηγύρεις, ἐν αἷς ἕκαστος ἡμῶν ζηλωτότερος ἦν καὶ θαυμαστότερος τῶν ἀθλητῶν τῶν ἐν τοῖς ἀγῶσι τὰς νίκας ἀναιρουμένων. εἰς ἃς τίς ἂν ἐλθεῖν

95 Hemos de sentir vergüenza si pensamos en las Olimpiadas y otras fiestas solemnes, en las que cada uno de nosotros era más envidiable y admirado que los atletas que obtenían las victorias en los certámenes. ¿Quién se atrevería a acudir a

[58] En el puesto de combate.
[59] La hegemonía espartana desde el año 404 a. C., derrota de Atenas en la guerra del Peloponeso, hasta la batalla de Leuctra (371 a. C.).
[60] Cf. TUC., I 140.

τολμήσειεν, ἀντὶ μὲν τοῦ τιμᾶσθαι καταφρονηθησόμενος, ἀντὶ δὲ τοῦ περίστατος ὑπὸ πάντων δι᾽ ἀρετὴν εἶναι περίβλεπτος ὑπὸ τῶν αὐτῶν ἐπὶ κακία γενησόμενος,

ellas para ser despreciado en lugar de honrado, para ser objeto de la curiosidad general por su miseria en vez de admirado por su virtud?

[96] ἔτι δὲ πρὸς τούτοις ὀψόμενος μὲν τοὺς οἰκέτας ἀπὸ τῆς χώρας ἧς οἱ πατέρες ἡμῖν κατέλιπον ἀπαρχὰς καὶ θυσίας μείζους ἡμῶν ποιουμένους, ἀκουσόμενος δ᾽ αὐτῶν τοιαύταις βλασφημίαις χρωμένων, οἵαις περ εἰκὸς τοὺς χαλεπώτερον μὲν τῶν ἄλλων δεδουλευκότας, ἐξ ἴσου δὲ νῦν τὰς συνθήκας τοῖς δεσπόταις πεποιημένους: ἐφ᾽ αἷς ἕκαστος ἡμῶν οὕτως ἂν ἀλγήσειεν, ὡς οὐδεὶς ἂν τῶν ζώντων διὰ λόγου δηλώσειεν.

96 ¿Quién soportaría, además de esto, ver que nuestros siervos obtienen de la tierra que nos dejaron nuestros padres más primicias y víctimas para sacrificios que nosotros?[61] ¿Cómo se les podría oír unos insultos lógicos en gente que ha estado esclavizada con más dureza que otros y que ahora, en cambio, tratan a sus señores en plan de igualdad? Ante esto, cada uno de nosotros sufriría tanto que nadie podría decirlo con palabras.

[97] ὑπὲρ ὧν χρὴ βουλεύεσθαι, καὶ μὴ τότ᾽ ἀγανακτεῖν ὅτ᾽ οὐδὲν ἡμῖν ἔσται πλέον, ἀλλὰ νῦν σκοπεῖν ὅπως μηδὲν συμβήσεται τοιοῦτον. ὡς ἔστιν ἓν τῶν αἰσχρῶν πρότερον μὲν μηδὲ τὰς τῶν ἐλευθέρων ἰσηγορίας ἀνέχεσθαι, νῦν δὲ καὶ τὴν τῶν δούλων παρρησίαν ὑπομένοντας φαίνεσθαι.

97 Sobre estas cosas hay que deliberar y no irritarnos porque no saquemos ninguna ventaja, sino examinar ahora de qué manera no ocurrirá tal cosa. Porque la primera de las vergüenzas es no haber aceptado antes igualdad de derechos con los hombres libres[62] y en cambio dar la sensación ahora de que aguantamos la libertad de lenguaje de los esclavos.

[98] δόξομεν γὰρ τὸν παρελθόντα χρόνον ἀλαζονεύεσθαι, καὶ τὴν μὲν φύσιν ὅμοιοι τοῖς ἄλλοις εἶναι, ταῖς δ᾽ αὐθαδείαις καὶ ταῖς σεμνότησιν οὐκ ἀληθιναῖς ἀλλὰ πεπλασμέναις κεχρῆσθαι. μηδὲν οὖν ἐνδῶμεν τοιοῦτον τοῖς εἰθισμένοις ἡμᾶς κακολογεῖν, ἀλλὰ τοὺς λόγους αὐτῶν ἐξελέγξαι πειραθῶμεν, ὅμοιοι γενόμενοι τοῖς τῶν προγόνων ἔργοις.

98 Pues parece que antes fanfarroneábamos, y que, siendo parecidos a los demás en condiciones naturales, nos entregábamos a arrogancias y orgullos no sinceros sino fingidos. No proporcionemos este argumento a quienes acostumbran a hablar mal de nosotros; por el contrario, hemos de intentar refutar sus palabras, imitando las hazañas de los antepasados.

[99] ἀναμνήσθητε δὲ τῶν ἐν Διπαίᾳ πρὸς Ἀρκάδας ἀγωνισαμένων, οὕς φασιν ἐπὶ μιᾶς ἀσπίδος παραταξαμένους τρόπαιον στῆσαι πολλῶν μυριάδων, καὶ τῶν τριακοσίων τῶν ἐν Θυρέαις ἅπαντας Ἀργείους μάχῃ νικησάντων, καὶ τῶν χιλίων τῶν εἰς Θερμοπύλας ἀπαντησάντων,

99 Acordaos de los que lucharon en Dipea[63] contra los arcadios, de quienes cuentan que, formados en una sola línea de defensa, levantaron un trofeo por su victoria sobre muchas decenas de miles de soldados. Recordad también a los trescientos que

[61] Mientras Mesenia estuvo sometida a Esparta, los ilotas que cultivaban la tierra debían entregar a sus amos una producción fija. Arquidamo piensa que al ser libres, aumentará esta producción.
[62] Esa igualdad de derechos (isegoría) se refiere a la que tenía que haber mantenido Esparta con sus aliados.
[63] Dipea está en Arcadia central. Allí venció el rey Arquidamo a los arcadios el año 471 a. C.; cf. HERÓD., IX 35, y PAUS., VIII.

en Tireas[64] vencieron en combate a todos los argivos, y a los mil que salieron al encuentro del enemigo en las Termopilas.

[100] οἳ πρὸς ἑβδομήκοντα μυριάδας τῶν βαρβάρων συμβαλόντες οὐκ ἔφυγον οὐδ᾽ ἡττήθησαν, ἀλλ᾽ ἐνταῦθα τὸν βίον ἐτελεύτησαν οὗ περ ἐτάχθησαν, τοιούτους αὑτοὺς παρασχόντες ὥστε τοὺς μετὰ τέχνης ἐγκωμιάζοντας μὴ δύνασθαι τοὺς ἐπαίνους ἐξισῶσαι ταῖς ἐκείνων ἀρεταῖς.

100 Éstos se lanzaron contra setecientos mil bárbaros y no huyeron ni fueron vencidos[65], sino que murieron en sus puestos y fue tal su actuación que quienes hacen artísticos elogios no pudieron igualar con sus alabanzas las virtudes de aquéllos.

[101] ἁπάντων οὖν τούτων ἀναμνησθέντες ἐρρωμενέστερον ἀντιλαβώμεθα τοῦ πολέμου, καὶ μὴ περιμένωμεν ὡς ἄλλων τινῶν τὰς παρούσας ἀτυχίας ἰασομένων, ἀλλ᾽ ἐπειδή περ ἐφ᾽ ἡμῶν γεγόνασιν, ἡμεῖς αὐτὰς καὶ διαλῦσαι πειραθῶμεν. χρὴ δὲ τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐν τοῖς τοιούτοις καιροῖς φαίνεσθαι διαφέροντας:

101 Teniendo en la memoria a todos éstos, nos ocuparemos de la guerra con más ánimo y no aguardaremos a que sean otros los que curen las presentes desgracias. Antes bien, como es a nosotros a quienes nos han tocado, seremos nosotros los que intentaremos que desaparezcan. Los hombres de bien deben mostrarse superiores en tales ocasiones.

[102] αἱ μὲν γὰρ εὐτυχίαι καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν, αἱ δὲ δυσπραξίαι ταχέως καταφανεῖς ποιοῦσιν, ὁποῖοί τινες ἕκαστοι τυγχάνουσιν ὄντες: ἐν αἷς ἡμῖν ἐπιδεικτέον ἐστίν, εἴ τι τῶν ἄλλων ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν.

102 Pues los buenos momentos esconden los defectos incluso de los malvados, pero las desgracias muestran al punto cómo es cada uno[66]. En ellas debemos mostrar si nos hemos criado y educado en la virtud algo mejor que los demás.

[103] ἔστι δ᾽ οὐδὲν ἀνέλπιστον ἐκ τῶν νῦν παρόντων συμβῆναί τι τῶν δεόντων ἡμῖν. οἶμαι γὰρ ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν, ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφοράς, καὶ τοῖς παθοῦσι συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας.

103 Hay esperanza de que nos pueda ocurrir algo que nos convenga a partir de nuestra situación actual.
Creo que no ignoráis que ya han sucedido muchas acciones parecidas y todos, en principio, pensaron que eran desgracias y se afligieron con quienes las sufrían, pero más tarde comprendieron que ellas eran la causa de los mayores bienes.

[104] καὶ τί δεῖ τὰ πόρρω λέγειν; ἀλλὰ καὶ νῦν τὰς πόλεις τάς γε πρωτευούσας, λέγω δὲ τὴν Ἀθηναίων καὶ Θηβαίων, εὕροιμεν ἂν οὐκ ἐκ τῆς εἰρήνης μεγάλην ἐπίδοσιν λαβούσας, ἀλλ᾽ ἐξ ὧν ἐν τῷ πολέμῳ προδυστυχήσασαι πάλιν

104 ¿Por qué contar lo pasado? También ahora descubriríamos que las ciudades de primera importancia, me refiero a la de los atenienses y a la de los tebanos, no tomaron un gran incremento a partir de la paz, sino que lo recobraron después de

[64] Localidad situada al NE de Lacedemonia, disputada por espartanos y argivos. La batalla tuvo lugar el año 542 a. C., HERÓD., I 82, y PAUSANIAS, II 38-5.
[65] Cf. *Panegírico* 90-92.
[66] Idea parecida en DEMÓSTENES, *Olíntica* II 20.

αὑτὰς ἀνέλαβον, ἐκ δὲ τούτων τὴν μὲν ἡγεμόνα τῶν Ἑλλήνων καταστᾶσαν, τὴν δ᾽ ἐν τῷ παρόντι τηλικαύτην γεγενημένην ὅσην οὐδεὶς πώποτ᾽ ἔσεσθαι προσεδόκησεν: αἱ γὰρ ἐπιφάνειαι καὶ λαμπρότητες οὐκ ἐκ τῆς ἡσυχίας ἀλλ᾽ ἐκ τῶν ἀγώνων γίγνεσθαι φιλοῦσιν.

haber sufrido las circunstancias de la guerra. A partir de esta situación, la primera se hizo guía de los griegos y la segunda se ha hecho en el presente tan poderosa como nadie nunca pudo imaginarlo. Porque la brillantez y la gloria gustan de manifestarse en los combates, no en la inactividad.

[105] ὧν ἡμᾶς ὀρέγεσθαι προσήκει, μήτε τῶν σωμάτων μήτε τῆς ψυχῆς μήτε τῶν ἄλλων ὧν ἔχομεν μηδενὸς φειδομένους. ἢν γὰρ κατορθώσωμεν καὶ τὴν πόλιν εἰς ταὐτὸ καταστῆσαι δυνηθῶμεν, ἐξ ὧνπερ ἐκπέπτωκε, καὶ τῶν προγεγενημένων μᾶλλον θαυμασθησόμεθα, καὶ τοῖς ἐπιγιγνομένοις οὐδεμίαν ὑπερβολὴν ἀνδραγαθίας καταλείψομεν, ἀλλὰ καὶ τοὺς βουλομένους εὐλογεῖν ἡμᾶς ἀπορεῖν ποιήσομεν, ὅ τι τῶν πεπραγμένων ἡμῖν ἄξιον ἐροῦσιν.

105 Conviene que aspiremos a estos combates sin escatimar nuestros cuerpos, espíritus o bienes. Pues si enderezáramos la ciudad y pudiéramos situarla en el mismo lugar de donde cayó, seríamos más admirados que nuestros antepasados y no dejaríamos a nuestros descendientes la posibilidad de superarnos en bravura. Haríamos también que quienes quisieran elogiarnos no pudieran decir nada digno de nuestras hazañas.

[106] δεῖ δὲ μηδὲ τοῦτο λανθάνειν ὑμᾶς, ὅτι πάντες τῷ συλλόγῳ τούτῳ καὶ τοῖς γνωσθησομένοις ὑφ᾽ ἡμῶν προσέχουσι τὸν νοῦν. ὥσπερ οὖν ἐν κοινῷ θεάτρῳ τῶν Ἑλλήνων διδοὺς ἔλεγχον ἕκαστος ὑμῶν τῆς αὑτοῦ φύσεως, οὕτω διακείσθω τὴν γνώμην.

106 No se os debe olvidar que todos prestan atención a esta reunión y a las resoluciones que vayamos a tomar. Que cada uno de vosotros adopte su parecer igual que daría prueba de su propia manera de ser en un teatro abierto a todos los griegos[67].

[107] ἔστι δ᾽ ἁπλοῦν τὸ καλῶς βουλεύσασθαι περὶ τούτων. ἢν μὲν γὰρ ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ τῶν δικαίων. οὐ μόνον εὐδοκιμήσομεν, ἀλλὰ καὶ τὸν ἐπίλοιπον χρόνον ἀσφαλῶς ἡμῖν ἐξέσται ζῆν: εἰ δὲ φοβησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς.

107 Hay simplemente que deliberar bien sobre estos asuntos. Si quisiéramos morir en defensa de la justicia no sólo seríamos celebrados sino que también viviríamos seguros en el futuro. Pero si tememos los peligros, llegaremos a los más graves desórdenes.

[108] παρακαλέσαντες οὖν ἀλλήλους ἀποδῶμεν τὰ τροφεῖα τῇ πατρίδι, καὶ μὴ περιίδωμεν ὑβρισθεῖσαν τὴν Λακεδαίμονα καὶ καταφρονηθεῖσαν, μηδὲ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων τοὺς εὔνους ἡμῖν ὄντας, μηδὲ περὶ πλείονος φανῶμεν ποιούμενοι τὸ ζῆν τοῦ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμεῖν,

108 Después de animarnos entre nosotros, devolvamos a la patria lo que gastó en alimentarnos[68] y no veamos con indiferencia que Lacedemonia es injuriada y despreciada, ni hagamos que quienes nos aprecian sean engañados en sus esperanzas. Tampoco nos mostremos como gente que estima más vivir que gozar de buena fama entre todos los hombres.

---

[67] Metáfora usual entre los griegos.

[68] Lo mismo en LISIAS, *Contra Andócides* 49, y PLATÓN, *República* 520 B.

[109] ἐνθυμηθέντες ὅτι κάλλιόν ἐστιν ἀντὶ θνητοῦ σώματος ἀθάνατον δόξαν ἀντικαταλλάξασθαι, καὶ ψυχῆς ἣν οὐχ ἕξομεν ὀλίγων ἐτῶν πρίασθαι τοιαύτην εὔκλειαν ἣ πάντα τὸν αἰῶνα τοῖς ἐξ ἡμῶν γενομένοις παραμενεῖ, πολὺ μᾶλλον ἢ μικροῦ χρόνου γλιχομένους μεγάλαις αἰσχύναις ἡμᾶς αὐτοὺς περιβαλεῖν.

109 Hemos de pensar que es más hermoso cambiar una fama inmortal por un cuerpo mortal, comprar con una vida que no tendremos sino pocos años una celebridad tan grande que les durará siempre a nuestros descendientes, que cubrirnos de enorme vergüenza por apegarnos a una corta vida.

[110] ἡγοῦμαι δ᾽ οὕτως ἂν ὑμᾶς μάλιστα παροξυνθῆναι πρὸς τὸν πόλεμον, εἰ ταῖς διανοίαις ὥσπερ παρεστῶτας ἴδοιτε τοὺς γονέας καὶ τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν, τοὺς μὲν παρακελευομένους μὴ καταισχῦναι τὸ τῆς Σπάρτης ὄνομα, μηδὲ τοὺς νόμους ἐν οἷς ἐπαιδεύθημεν, μηδὲ τὰς μάχας τὰς ἐφ᾽ αὑτῶν γενομένας, τοὺς δ᾽ ἀπαιτοῦντας τὴν χώραν ἣν οἱ πρόγονοι κατέλιπον, καὶ τὴν δυναστείαν τὴν ἐν τοῖς Ἕλλησι, καὶ τὴν ἡγεμονίαν ἥνπερ αὐτοὶ παρὰ τῶν πατέρων παρελάβομεν: πρὸς οὓς οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν ὡς οὐκ ἀμφότεροι δίκαια τυγχάνουσι λέγοντες.

110 Creo que os animaríais muchísimo a la guerra si en vuestros pensamientos vierais presentes a nuestros padres e hijos, los primeros exhortándonos a no deshonrar el nombre de Esparta ni las leyes en las que fuimos educados ni los combates que en su época ocurrieron, y los segundos reclamando la tierra que dejaron los antepasados, el dominio de los griegos y la hegemonía que nosotros recibimos de nuestros padres. Ante esto no podríamos decir que no son justas las cosas que piden unos y otros.

[111] οὐκ οἶδ᾽ ὅ τι δεῖ μακρολογεῖν, πλὴν τοσοῦτον, ὡς πλείστων τῇ πόλει ταύτῃ πολέμων καὶ κινδύνων γεγενημένων οὐδεπώποθ᾽ οἱ πολέμιοι τρόπαιον ἡμῶν ἔστησαν ἡγουμένου βασιλέως ἐκ τῆς οἰκίας τῆς ἡμετέρας. ἔστι δὲ νοῦν ἐχόντων ἀνδρῶν, οἵσπερ ἂν ἐν ταῖς μάχαις ἡγεμόσι χρώμενοι κατορθῶσι, τούτοις καὶ περὶ τῶν μελλόντων κινδύνων συμβουλεύουσι μᾶλλον ἢ τοῖς ἄλλοις πείθεσθαι.

111 No sé qué más se puede decir, a no ser lo siguiente: que en las muchas guerras y peligros ocurridos a esta ciudad nunca los enemigos levantaron un trofeo nuestro mientras fue su guía un rey de nuestra familia[69]. Es propio de hombres inteligentes que ante peligros futuros acepten más que los consejos de otros, los de aquellos jefes que les llevaron a la victoria en los combates.



[69] Arquidamo pertenecía a la familia de los Euripóntidas; véase nota 4.